BIBLIOTHECA

SCRIPTORVM GRAECORVM ET ROMANORVM

TEVBNERIANA

SOPHOCLIS

TRACHINIAE

TERTIVM EDIDIT

R. D. DAWE



STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI MCMXCVI

Die Deutsche Bibliothek — CIP-Einheitsaufnahme

Sophocles:
[Trachiniae]
Sophoclis Trachiniae. — 3. ed. / R. D. Dawe. —
Stutgardiae ; Lipsiae : Teubner, 1996
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-8154-1816-X
NE: Dawe, Roger D. [Hrsg.]

Printed in Germany
Satz: DW & ID Repro- und Satzzentrum GmbH
Druck: Winkler-Druck GmbH, Gräfenhainichen
Buchbinderei: Christian Biener, Dessau

PRAEFATIO

Codices qui Trachinias, Antigonen, Philocteten Oedipumque Coloneum exhibent multo pauciores sunt illis qui triadem quae vocatur Byzantina. qui adhibendi essent quique neglegendi ex duobus praesertim subsidiis constituimus: collationibus videlicet librorum Antigones ab E. Christiano Kopff[1] Oedipodisque Colonei a G. Speake[2] confectis. quod ad Trachinias attinet, lectiones ex aliquot codicibus selectas iam dudum patefecit W. Subkoff[3]. editoris opus facilius reddiderunt etiam collationes Philoctetae librorum **GQR** quas publici iuris fecit Patricia Easterling[4]. multa tamen restabant nobis perficienda, atque multa iam ab his quos nominavimus lustrata iterum peragrare nobis aequum esse videbatur. alio autem modo rem gessimus atque in triade: nam cum lectionum minutias discrepantium impertire nobis non propositum esset, non codices ipsos sed imagines *ξηρογράφους* plerumque domi excussimus. quotiens autem ex his minus clarum erat quid in libris Parisinis scriptum esset, per *αὐτοψίαν* certiores facti sumus; eodem munere functus codices Flo-

1 A Collation and Description of the Mnuscripts of Sophocles' Ntigone, Diss. University of North Carolina, Chapel Hill, 1974.

2 Greek, Roman and Byzantine Monographs 8, Durham 1978.

3 Trachiniae ed. W. Subkoff, Mosquae 1879.

4 Class. Quart. N. S. 19 (1969) 57–85.

rentinos pro sua benevolentia nobis inspexit Augustus Guida.

Quibus modis codices harum quattuor fabularum inter se conectantur, quoad potuimus in tertio Studiorum nostrorum volumine[5] explanavimus. haud aliter atque in triade stationes extremas occupant codex **L**, quem A. Diller saec. X medio assignavit[6], et **A**, cui artissime cohaerent **U** et **Y**. codex **A** omnibus Sophoclis lectoribus iam dudum notissimus est, sed **U** eiusdem fere esse temporis atque auctoritatis videtur. ubi hi inter se discrepant, si lectionem progenitoris pro certo habere vis, codicis **Y** arbitrio rem remittas.

Tertia familia ex libris **ZoT** imprimis constituta est, quibus in hac editione accedunt **Zg** (Trach. et Phil.), **Zf** (Ant.), **Zn** (Oed. Col.). ex his principatum tenet **Zo**. auctoritatem huius familiae non facile colligeres ex editionibus quibus viri docti hodie uti solent. nunc tamen inter alia apparet multas lectiones quas Demetrii Triclinii ingenio tribuere mos erat ex antiquo fonte communi derivatas esse.

Zc (Ant.) auspiciis parum felicibus suum nomen accepit, nam cum **ZfZgZnZo** non multum congruit. superest enim quarta familia quaedam, si familiam eos codices re vera appellare licet qui originem ducunt ex exemplaribus paucis haud multum a codice **L** distantibus. ex hac praeter **Zc** et illos **G** (Phil.) **Q** (Phil. et Oed. Col.) **R** (omnes praeter Trach. 373 ad finem), quos etiam in priore volumine adhibuimus, his codicibus usi sumus: **K**, cuius collationes utilissimas praestitit Metlikovitz[7]; hic omnes sep-

5 Studies on the Text of Sophocles, vol. III, Leiden 1978.

6 Serta Turyniana, Illinois 1974, 522.

7 Dissertationes philologae Vindobonenses 2 (Pragae – Vindobonae – Lipsiae 1890) 213–302.

tem fabulas continet, et eo gratior Trachiniarum editori est quod ceteri huius familiae libri in hac fabula aut partim aut omnino deficiunt; locum propiorem a codice **L** obtinet quam a progenitore librorum **GQR**. deinde **S** (Ant. et Phil. 1–654, 748–1297) et **V** (Ant. Phil. Tgrach. 1–18, Oed. Col. 1338–1779). quamquam **SV** multos errores communes exhibent, necessitudines alias uterque praebet: noli igitur eos pro gemellis habere. sunt loci ubi $S^{\gamma\rho}$ cum $L^{s\gamma\rho}$ consentit: Ant. 231, 521, 1136, 1308; Phil. 426, 538, 954, 1093, 1199.

Hodie nemo ignorat, etsi causas penitus intellegere difficile est, familias singulas vel etiam codices singulos lectiones antiquas tradere posse aliis traditionis stirpibus ignotas. **AUY** cum papyri fragmento consentiunt ad Trach. 360, Ant. 110, Oed. Col. 138. idem facit **K** ad Trach. 783, 1136, 1275. *φρονεῖν* exhibent L^{ac} et pap. Amst. Inv. 68 ad Trach. 289. inter Pollucem et **ZoT** est insignis similitudo in loco Ant. 628. ubi desunt testimonia extrinsecus afferenda, antiquas esse huiusmodi lectiones probant leges metricae seu grammaticae, ut de ipso stilo Sophocleo sileamus. hoc fusius comprobavimus in nostro libello Leidensi: possis tamen, si rem ex paucis admodum locis aestimare vis, hac brevi tabula uti:

prima familia
L: Ant. 619, 938; Phil. 110, 1461; Oed. Col. 35
$L^{s\gamma\rho}$: Trach. 7, 731; Ant. 340; Oed. Col. 1218

altera familia
AUY: Trach. 502, 977; Ant. 34, 471(?), 557, 1197; Phil. 895, 1235, 1312; Oed. Col. 110, 608, 786, 1531

tertia familia (praesertim **Zo***)*
Trach. 902, 1045; Ant. 152, 384, 864; Phil. 614, 745, 1243, 1429; Oed. Col. 250, 320, 889, 1455, 1597, 1728

quarta familia
GQR: Phil. 11, 496, 1120
K: Oed. Col. 525, 778, 1337, 1515: hic codex formam *ποεῖν* saepe servat, aliter in codice **L** solum inventam.
S: Ant. 1289, Phil. 228(?), 496
V: Phil. 150, 650, 760

Multas bonas lectiones in codice **T** repertas hic non citamus, propterea quod Triclinius emendatorem tam fortem se praebuit ut interdum dubitari possit utrum lectio antiqua an coniectura recens nobis arrideat. cum viri docti tempore quo hanc editionem conficimus Triclinii modum operandi melius intellegere velint, in partibus lyricis collationes huius libri ampliores dedimus quam quas exegisset res mera critica.

E testimoniis haud multa discimus. Sophocles noster saepe commemoratur in opere *λεχικῶι* Suda: sed Trach. 743 et Oed. Col. 99 exceptis nihil fere praeter corruptiones novas impertit. Ant. 1167 soli servant Athenaeus et Eustathius: hic etiam *μηδ'* pro *μήτ'* ad Phil. 771. orthographiam veram tradit Photius ad Trach. 770, et ad Trach. 788 *τ'* sincerum in textu depravato Diogenes Laertius. lectionem pretiosam quam coniectura attingere non potuerimus habet Strabo ad Trach. 12–13.

In hac tertia editione textum manu paulo liberiore tractavimus ne ubi remedium excogitari posset balbutire noster lectori retardato videretur. Itemque ea spe ut optimae lectiones quas caligo oblivionis paene obrutas habebat iterum in lucem reducerentur plures coniecturas in apparatu commemorare dignavimus, quarum maiorem partem e collectione auro pretiosiore quam conflavit L. van Paassen exprompsimus.

Cantabrigiae, A. D. MCMXCIV R. D. D,

CONSPECTVS SIGLORVM

A	Paris. gr. 2712
K	Flor. Laur. 31, 10
L	Flor. Laur. 32, 9
R	Vatic. gr. 2291
T	Paris. gr. 2711
U	Ven. gr. 467
V	Ven. gr. 468
Y	Vindob. phil. gr. 48
Zg	Flor. Laur. 32, 2
Zo	Vatic. Palat. gr. 287

Codex **L** ca. 950 A. D. exscriptus est, et **K** fortasse ante A. D. 1200. **U** subscriptionem A. D. 1312 exhibet, eiusdemque fere aetatis esse debet **A**. saeculo quinto decimo assignantur **RY**. ceteri codices saeculo quarto decimo exarati sunt, nisi forte **V** exeunte saeculo priore.

P. Oxy. 1805 (fragmenta Trachiniarum 12–1276) saec. II p. Chr.
P. Oxy. 3687 (Trach. 258–269) saec. II p. Chr.
P. Oxy. 3688 (Trach. 1267–1278) saec. V–VI p. Chr.
P. Amst. Inv. 68 (Trach. 284–290) saec. III p. Chr.

$\mathbf{B}^{ac}$	lectio codicis **B** ante correctionem
$\mathbf{B}^{pc}$	lectio codicis **B** post correctionem
$\mathbf{B}^{c}$	lectio correcta ubi $\mathbf{B}^{ac}$ dispici nequit
$\mathbf{B}^{1pc}$	correctio a prima manu illata
$\mathbf{B}^{2}$	manus altera quaelibet
$\mathbf{B}^{2pc}$	hoc siglum usurpatur ubi satis certum est lectionem correctam nec $\mathbf{B}^{1}$ nec $\mathbf{B}^{s}$ intulisse
$\mathbf{B}^{s}$	scriba scholiorum vel glossator frequens
$\mathbf{B}^{\gamma\varrho}$	varia lectio in **B** reperta, praefixis litteris *γϱ.*, *γϱ. καὶ*, aut formula *εὕϱηται δὲ ἔν τισι* vel. sim.

B[gl]	glossema in **B** repertum, interdum etiam varia lectio sine *γρ.*, *γρ. καὶ* vel tali formula praefixa
B in lin.	lectio codicis **B** in linea reperta
B s. l.	lectio codicis **B** supra lineam reperta
Σ	scholia
*	rasura unius litterae
●	littera nihili
rell.	lectio omnium ceterorum codicum exceptis meris erroribus in uno vel duobus codicibus inventis
fere rell.	lectio quam vult maior pars ceterorum codicum, meris erroribus tantum suppressis qui nihil ad rem criticam conferunt
rec.	hoc siglo raro utimur ubi convenit lectiones commemorare unius vel plurium codicum quae nobis ex editionibus aliorum innotuerunt
⟨ ⟩	editoris supplementum
[ ]	verba quae editor delenda censet

ΤΡΑΧΙΝΙΑΙ

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΔΗΙΑΝΕΙΡΑ
ΤΡΟΦΟΣ
ΥΛΛΟΣ
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ΤΡΑΧΙΝΙΩΝ
ΑΓΓΕΛΟΣ
ΛΙΧΑΣ
ΗΡΑΚΛΗΣ
ΠΡΕΣΒΥΣ

ΔΗΙΑΝΕΙΡΑ

Λόγος μέν ἐστ' ἀρχαῖος ἀνθρώπων φανεὶς
ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις βροτῶν, πρὶν ἂν
θάνηι τις, οὔτ' εἰ χρηστὸς οὔτ' εἴ τωι κακός·
ἐγὼ δὲ τὸν ἐμόν, καὶ πρὶν εἰς Ἅιδου μολεῖν,
5 *ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρύν·*
ἥτις πατρὸς μὲν ἐν δόμοισιν Οἰνέως
ναίουσ' ἔτ' ἐν Πλευρῶνι νυμφείων ὄτλον
ἄλγιστον ἔσχον, εἴ τις Αἰτωλὶς γυνή.
μνηστὴρ γὰρ ἦν μοι ποταμός, Ἀχελῷον λέγω,
10 *ὅς μ' ἐν τρισὶν μορφαῖσιν ἐξῄτει πατρός,*
φοιτῶν ἐναργὴς ταῦρος, ἄλλοτ' αἰόλος
δράκων ἑλικτός, ἄλλοτ' ἀνδρείωι κύτει
βούπρωιρος, ἐκ δὲ δασκίου γενειάδος
κρουνοὶ διερραίνοντο κρηναίου ποτοῦ.
15 *τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη*

codd. **LKZgZoTAUY**, **R** (1–372), **V** (1–18)
1 *μὲν ἔστ'* codd. | *ἀνθρώποις* Cramer Anec. Ox. 4, 328, 21 || 2 *ἐκμάθοις* **LVT** *-ῃς* **Zo** *-οι* rell. et Stobaeus 5, 939, 7 | *πρὶν ἂν βροτῶν* **RVZg** || 3 *θάνηι* **LKZo**, Stobaeus *-ει* **R** *-οι* rell. || 7 *ἔτ' ἐν* Erfurdt: 'cum adhuc habitarem' Oertel A. D. 1549 *ἐν* **LK** (*-ά*) *γ' ἐν* **ZgZo** *ἐνὶ* **RAUY** *ἐνὶ* **V** om. **T**, qui *Πλευρῶνι ναίουσα ν. ὄ.* exhibet | *νυμφίων* **LKZoT** | *ὄτλον* **L**$^{s\gamma\rho}$ *ὄγκον* **Zo** *ὄκνον* rell. || **8** *Αἰτωλή* **KR** *-ός* **Zg**^{ac}**Zo**, **T** in lin. || **10** *ἐζήτει* **KZgZo** || **11** *μὲν ἀργῆς* Campe, sed cf. *φάσμα ταύρου* 509 || **12** sq. *κύτει βούπρωιρος* Strabo 10, 458 (cf. Philostr. iun. Imag. p. 12, 5 ed. Schenkl: *βούπρωιρα πρόσωπα*) *τύπωι βούκρανος* codd. Sophoclis

δύστηνος αἰεὶ κατθανεῖν ἐπηυχόμην
πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε.
χρόνωι δ' ἐν ὑστέρωι μέν, ἀσμένηι δέ μοι,
ὁ κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς,
20 *ὃς εἰς ἀγῶνα τῶιδε συμπεσὼν μάχης*
ἐκλύεταί με· καὶ τρόπον μὲν ἂν πόνων
οὐκ ἂν διείποιμ', οὐ γὰρ οἶδ'· ἀλλ' ὅστις ἦν
θακῶν ἀταρβὴς τῆς θέας, ὅδ' ἂν λέγοι·
ἐγὼ γὰρ ἥμην ἐκπεπληγμένη φόβωι
25 *μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ.*
τέλος δ' ἔθηκε Ζεὺς ἀγώνιος καλῶς,
εἰ δὴ καλῶς· λέχος γὰρ Ἡρακλεῖ κριτὸν
ξυστᾶσ' ἀεί τιν' ἐκ φόβου φόβον τρέφω,
κείνου προκηραίνουσα· νὺξ γὰρ εἰσάγει
30 *καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.*
κἀφύσαμεν δὴ παῖδας, οὓς κεῖνός ποτε,
γήιτης ὅπως ἄρουραν ἔκτοπον λαβών,
σπείρων μόνον προσεῖδε κἀξαμῶν ἅπαξ.
τοιοῦτος αἰὼν εἰς δόμους τε κἀκ δόμων
35 *αἰεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τωι.*
νῦν δ' ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
ἐνταῦθα δὴ μάλιστα ταρβήσασ' ἔχω.
ἐξ οὗ γὰρ ἔκτα κεῖνος Ἰφίτου βίαν
ἡμεῖς μὲν ἐν Τραχῖνι τῆιδ' ἀνάστατοι

16 *ἐπηυχόμην* **AU** *ἐπευχόμην* rell. ‖ **17** *τοῦδε* Wunder | *ταῖσδε κοίταις* Schneidewin ‖ **18** *δ' ἐμοί* **ZoT** ‖ **23** *θακῶν* **KRZo** *θώκῶν* L[c] (*θα-* incepit L[ac]) *θακὼν* rell. ‖ **24** *ἥμην* v.l. in **L** *ἤμην* rell. ‖ **26** *ἔθηκεν* **LK** ‖ **27** *λάχος* rec. ‖ **28** *ξυνστᾶσ'* **LKT** ‖ **30** *νύξ σφ'* Kayser | *ἀπωθεῖται δεδεγμένον* Suda 4, 172, 17 | *διαδεδεγμένον πόνους* Billerbeck ‖ **31** *κἄφυσα μὲν* **ZgZoT** ‖ **32** *γήιτης* **L** *γήτης* rell. ‖ **34** *ἐκ δόμων τε κεἰς δόμους* **Zn** (Par. gr. 2787)

40 *ξένωι παρ' ἀνδρὶ ναίομεν, κεῖνος δ' ὅπου*
βέβηκεν οὐδεὶς οἶδε· πλὴν ἐμοὶ πικρὰς
ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται.
σχεδὸν δ' ἐπίσταμαί τι πῆμ' ἔχοντά νιν·
χρόνον γὰρ οὐχὶ βαιόν, ἀλλ' ἤδη δέκα
45 *μῆνας πρὸς ἄλλοις πέντ' ἀκήρυκτος μένει.*
[*κἄστιν τι δεινὸν πῆμα· τοιαύτην ἐμοὶ*
δέλτον λιπὼν ἔστειχε, τὴν ἐγὼ θαμὰ
θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.]

ΤΡΟΦΟΣ

δέσποινα Δηιάνειρα, πολλὰ μέν σ' ἐγὼ
50 *κατεῖδον ἤδη πανδάκρυτ' ὀδύρματα*
τὴν Ἡράκλειον ἔξοδον γοωμένην·
νῦν δ', εἰ δίκαιον τοὺς ἐλευθέρους φρενοῦν
γνώμαισι δούλαις κἀμὲ χρὴ φράσαι τὸ σόν,
πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
55 *ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινά,*
μάλιστα δ', ὅνπερ εἰκός, Ὕλλον, εἰ πατρὸς
νέμοι τιν' ὤραν †τοῦ καλῶς πράσσειν δοκεῖν†;
ἐγγὺς δ' ὅδ' αὐτὸς ἀρτίπους θρώισκει δόμους,
ὥστ', εἴ τί σοι πρὸς καιρὸν ἐννέπειν δοκῶ,
60 *πάρεστι χρῆσθαι τἀνδρὶ τοῖς τ' ἐμοῖς λόγοις.*

40 *ὅτου* **R** *ὅποι* Brunck || **42** *αὐτοῦ* Hermann *αὐτῇ* **R** *αὐτοῦ* rell. || **46** *χρῆμα* Wilamowitz || **46–48** del. Tycho von Wilamowitz: 44–48 iam Wunder || **47** *ἔστειχεν, ἣν* Dindorf || **52** *φρονοῦν* **K**[pc]**R** *φρονεῖν* **K**[ac] fort. *φρενῶν* **Zo**[ac] || **53** *τόσον* **AYT** || **57** *νέμει* **Zo** | *ὤραν* **L** *ὥραν* rell. | *δοκεῖ* **ZgZo** | num *τοῦ κακῶς* (Roscher) *πράσσειν ὕπερ*? || **58** *δόμοις* Wakefield *δόμων* Bergk || **60** *τ'* om. **A**[ac]**ZgZoT** *γ'* Hermann

ΔΗ. ὦ τέκνον, ὦ παῖ, κἀξ ἀγεννήτων ἄρα
μῦθοι καλῶς πίπτουσιν· ἥδε γὰρ γυνὴ
δούλη μέν, εἴρηκεν δ' ἐλεύθερον λόγον.

ΥΛΛΟΣ

ποῖον; δίδαξον, μῆτερ, εἰ διδακτά μοι.
65 ΔΗ. σὲ πατρὸς οὕτω δαρὸν ἐξενωμένου
τὸ μὴ πυθέσθαι ποῦ 'στιν αἰσχύνην φέρειν.
ΥΛ. ἀλλ' οἶδα, μύθοις γ' εἴ τι πιστεύειν χρεών.
ΔΗ. καὶ ποῦ κλύεις νιν, τέκνον, ἱδρῦσθαι χθονός;
ΥΛ. τὸν μὲν παρελθόντ' ἄροτον ἐν μήκει χρόνου
70 Λυδῆι γυναικί φασί νιν λάτριν πονεῖν.
ΔΗ. πᾶν τοίνυν, εἰ καὶ τοῦτ' ἔτλη, κλύοι τις ἄν.
ΥΛ. ἀλλ' ἐξαφεῖται τοῦδέ γ', ὡς ἐγὼ κλύω.
ΔΗ. ποῦ δῆτα νῦν ζῶν ἢ θανὼν ἀγγέλλεται;
ΥΛ. Εὐβοῖδα χώραν φασίν, Εὐρύτου πόλιν,
75 ἐπιστρατεύειν αὐτὸν ἢ μέλλειν ἔτι.
ΔΗ. ἆρ' οἶσθα δῆτ', ὦ τέκνον, ὡς ἔλειπέ μοι
μαντεῖα πιστὰ τῆσδε τῆς χώρας πέρι;
ΥΛ. τὰ ποῖα, μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.
ΔΗ. ὡς ἢ τελευτὴν τοῦ βίου μέλλει τελεῖν,
80 ἢ τοῦτον ἄρας ἆθλον εἰς τό γ' ὕστερον
τὸν λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν.
ἐν οὖν ῥοπῆι τοιᾶιδε κειμένωι, τέκνον,
οὐκ εἶ ξυνέρξων, ἡνίκ' ἢ σεσώμεθα

66 *φέρειν* Valckenaer *φέρεν* Zo *φέρει* rell. || **67** *γ'* **RAUY** om. rell. || **68** *νιν τέκνον* **LKAUY** *τέκνον νιν* **ZgZoT** *νιν τὸν σὸν* **R** || **69** *ἄροτρον* **L** || **73** *θανών γ'* Zo *θανὼν γ'* **Zg** | *ἀγάλλεται* **K** || **74** *Εὐβοΐδα* **Zg** || **76** *δῆτα τέκνον* **T** || **77** *ὥρας* Dronke *πείρας* Dobree *χρείας* Hense || **79** *ἢ*] *οἱ* **L** *οἷ* **K** *οἵ* **R** || **80** *τό γ'* Reiske *τὸν* codd. || **81** *τὸ λοιπὸν* **RZgZo**, et **T** in lin. || **83** *σεσώσμεθα* codd.: corr. Wecklein || **83–85** om. **A**[ac]

[ἢ πίπτομεν σοῦ πατρὸς ἐξολωλότος]
85 κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα;
ΥΛ. ἀλλ' εἶμι, μῆτερ· εἰ δὲ θεσφάτων ἐγὼ
βάξιν κατῄδη τῶνδε, κἂν πάλαι παρῆ·
νῦν δ' ὁ ξυνήθης πότμος οὐκ ἐᾶι πατρὸς
ἡμᾶς προταρβεῖν οὐδὲ δειμαίνειν ἄγαν.
90 [νῦν δ' ὡς ξυνίημ', οὐδὲν ἐλλείψω τὸ μὴ
πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι.]
ΔΗ. χώρει νυν, ὦ παῖ· καὶ γὰρ ὑστέρωι τό γ' εὖ
πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾶι.

ΧΟΡΟΣ

ὃν αἰόλα νὺξ ἐναριζομένα *στρ. α*
95 τίκτει κατευνάζει τε φλογιζόμενον,
Ἅλιον, Ἅλιον αἰτῶ
τοῦτο καρῦξαι, τὸν Ἀλκμή-
νας πόθι μοι πόθι γᾶς
ναίει ποτ'· ὦ λαμπρᾶι στεροπᾶι φλεγέθων,
100 εἰ ποντίας αὐλῶνας ἢ
δισσὰς ἀν' ἀπείρους σφ' ἀθρεῖς,
εἴπ', ὦ κρατιστεύων κατ' ὄμμα.

84 eiecit Bentley || **87** *κατῄδη* Brunck *κατῄδην* L *κατή(ι)δειν* rell. | *παρῆ* Dindorf *παρῆν* codd. || **88** sq. del. Hermann: post 91 trai. Brunck, *ἀλλ'* pro *νῦν δ'* in v. 88 scripto || **88** *εἶα* Vauvilliers || **90** sq. del. Dindorf || **90** *μὴ οὐ* Brunck || **97** *τοῦτο* **RZgZoT** *τούτωι* **LKAUY** | *καρῦξαι* Hermann *κηρῦξαι* **Zg** *κηρύξαι* **RZo** *καρύξαι* rell. || **98** *γᾶς* Schneidewin *παῖς* **T** *μοι παῖς* rell., post quod aliquid erasum in **K** *μοι* Wunder, praeeunte Porson || **99** *λαμπρὰ στεροπὰ* **L**[ac]**KZgZo** || **100** *εἰ* Dawe *ἢ* codd. | *ποντίας* **L** *ποντίος* **R**, fort. **U**[ac] *ποντίους* **L**[1] s. l., rell. | *αὐλῶνος* Margoliouth || **101** *δισσὰς ἀν' ἀπείρους σφ' ἀθρεῖς* Dawe *δισσαῖσιν* (-*αῖς* **T**) *ἀπείροισι(ν)* (-*οις* **T**) *κλιθεὶς* codd.

ποθουμέναι γὰρ φρενὶ πυνθάνομαι ἀντ. α
τὰν ἀμφινεικῆ Δηιάνειραν ἀεί,
105 *οἷά τιν' ἄθλιον ὄρνιν,*
οὔποτ' εὐνάζειν ἀδάκρυ-
τον βλεφάρων πόθον, ἀλλ'
εὔμναστον ἀνδρὸς δεῖμα τρέφουσαν ὁδοῦ
ἐνθυμίοις εὐναῖς ἀναν-
110 *δρώτοισι τρύχεσθαι, κακὰν*
δύστανον ἐλπίζουσαν αἶσαν.

πολλὰ γὰρ ὥστ' ἀκάμαντος στρ. β
ἢ νότου ἢ βορέα τις
κύματ' ἂν εὐρέι πόντωι
115 *βάντ' ἐπιόντα τ' ἴδοι·*
οὕτω δὲ τὸν Καδμογενῆ
στρέφει, τὸ δ' αὔξει βιότου
πολύπονον ὥσπερ πέλαγος
Κρήσιον· ἀλλά τις θεῶν
120 *αἰὲν ἀναμπλάκητον Ἅι-*
δα σφε δόμων ἐρύκει.

ὧν ἐπιμεμφομένας αἰ- ἀντ. β
δοῖα μέν, ἀντία δ' οἴσω·

105 *ἄλιον ὄρνιν* L[syρ] || **107** *ἀδακρύτων* codd.: corr. Dawe || **108** *φέρουσαν* codd.: corr. Casaubon || **109** *εὐναῖς τ'* ZgZoT || **113** *βορέου* Zg, et s. l. AUY *βορίου* Zo || **114** *κύματ' ἂν* Wakefield et Porson *κύματα* T *κύματ'* rell. || **117** *στρέφει* Reiske *τὸ μὲν τρέφει* ZgZo *τρέφει* rell. | *αὔξει* L[c] || **118** *ὥσπερ* AUY *ὥσπερ τι* Zo *ὥστε* rell. || **119** *Κρήσσιον* T || **120** *ἀναμπλάκητον* ΣL s. l. *ἀναπλ.* ΣL in lin. *ἀμπλάκητον* rell. *ἀπλάκητον* Hesych. 1, 242 | *Ἅιδα* Zn *Ἀΐδα* rell. *-ου* sscr. K[s] || **121** *ἐρύκοι* T || **122** *-μένας γ'* Zo *-μέναι σ'* T (*σοι* T[gl]) | *αἰδοῖα* Musgrave *ἀδεῖα* codd.

φαμὶ γὰρ οὐκ ἀποτρύειν
125 *ἐλπίδα τὰν ἀγαθὰν*
χρῆναί σ᾽· ἀνάλλακτα γὰρ οὐδ᾽
ὁ πάντα κραίνων βασιλεὺς
ἐπέβαλε θνατοῖς Κρονίδας·
ἀλλ᾽ ἐπὶ πῆμα καὶ χαρὰ
130 *πᾶσι κυκλοῦσιν, οἷον Ἄρ-*
κτου στροφάδες κέλευθοι.

μένει γὰρ οὔτ᾽ αἰόλα ἐπῳδ.
νὺξ βροτοῖσιν οὔτε κῆ-
ρες, οὔ τις οἶτος, ἀλλ᾽ ἄφαρ
135 *βέβακε, τῶι δ᾽ ἐπέρχεται*
χαίρειν τε κοὐ στένεσθαι.
ἃ καὶ σὲ τὰν ἄνασσαν ἐλπίσιν λέγω
τάδ᾽ αἰὲν ἴσχειν· ἐπεὶ τίς ὧδε
140 *τέκνοισι Ζῆν᾽ ἄβουλον εἶδεν;*

ΔΗ. *πεπυσμένη μέν, ὡς ἀπεικάσαι, πάρει*
πάθημα τοὐμόν· ὡς δ᾽ ἐγὼ θυμοφθορῶ
μήτ᾽ ἐκμάθοις παθοῦσα, νῦν δ᾽ ἄπειρος εἶ.
[*τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται*
145 *χώροισιν αὐτοῦ, καί νιν οὐ θάλπος θεοῦ*
οὐδ᾽ ὄμβρος οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,]
⟨. . . . .⟩

126 *ἀνάλλακτα* M. Schmidt *ἀνάλγητα* codd. ‖ **127** *πάντων* **T** ‖ **128** *ἐπέβαλε* **UZgT** et Suda 1, 327, 1 *ἐπέβαλλε* rell. ‖ **129** *ἔτι* Pearson | *πήματι* olim **L**pc | *χαρᾶι* **L**pc**RZg** *χαρὰν* **K** ‖ **134** *οὔ τις οἶτος* Dawe *οὔτε πλοῦτος* codd. ‖ **135** *βέβακε* **AUY** *βέβηκε* rell. ‖ **136** *κοὐ* Dawe *καὶ* codd. | *στένεσθαι* Reiske *στέρεσθαι* codd. ‖ **140** *οἶδεν* **RT** *οἶδε* **Zg** ‖ **141** *ἐπεικάσαι* Hermann ‖ **143** *παροῦσα* **AUY** ‖ **144–146** del. Dawe: loci amoeni descriptionis, quam multi laudant, nemo intelligit, Sophoclem auctorem esse redarguit prima syllaba vocis *τοιοῖσδε* hac sede versus correpta ‖ **145** *αὐτοῦ* **L**pc**YZo**, **T** s. l., novit **Σ**

ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον
ἐς τοῦθ', ἕως τις ἀντὶ παρθένου γυνὴ
κληθῆι, λάβηι τ' ἐν νυκτὶ φροντίδων μέρος,
150 ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη·
τότ' ἄν τις εἰσίδοιτο, τὴν αὑτοῦ σκοπῶν
πρᾶξιν, κακοῖσιν οἷς ἐγὼ βαρύνομαι.
πάθη μὲν οὖν δὴ πόλλ' ἔγωγ' ἐκλαυσάμην·
ἓν δ', οἷον οὔπω πρόσθεν, αὐτίκ' ἐξερῶ.
155 ὁδὸν γὰρ ἦμος τὴν τελευταίαν ἄναξ
ὡρμᾶτ' ἀπ' οἴκων Ἡρακλῆς, τότ' ἐν δόμοις
λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
ξυνθήμαθ', ἁμοὶ πρόσθεν οὐκ ἔτλη ποτέ,
πολλοὺς ἀγῶνας ἐξιών, οὕτω φράσαι,
160 ἀλλ' ὥς τι δράσων εἷρπε, κοὐ θανούμενος.
νῦν δ', ὡς ἔτ' οὐκ ὤν, εἶπε μὲν λέχους ὅ τι
χρείη μ' ἑλέσθαι κτῆσιν, εἶπε δ' ἣν τέκνοις
μοῖραν πατρώιας γῆς διαιρετὸν νέμοι,
χρόνον προτάξας, ὡς τρίμηνον ἡνίκα
165 χώρας ἀπείη κἀνιαύσιος βεβώς,
τότ' ἢ θανεῖν χρείη σφε, τῶιδε τῶι χρόνωι,

150 *πρὸ τἀνδρὸς* Tournier | vers. del. Dindorf || **151** *αὑτοῦ* **YT** *αὐτοῦ* rell. || **157** post hunc versum ⟨*χρησμὸν πάλαι φανέντα, προστιθεὶς ἅμα*⟩ suppl. Stahl || **158** *ἅ μοι* codd. || **159** *οὕτω* rec. et coni. Tournier *οὔπω* **LRU** *οὔπω* rell. || **161** *λάχους* Naber || **162** *χρείη* Brunck *χρειὴ* **K** *χρεί' ἡ* **R** *χρεί' ἦ* **AZo**[ac] *χρεῖ' ἦ* **L**[c]**Zo**[pc] rell. || **163** *πατρώιαν* **ZoT** | *διαιρετὴν* s.l. **AY** *διαίρετον* Hermann et Lobeck | *νέμοι*] *μένειν* **AUY** || **164** *τρίμηνος* Wakefield | *ἡνίκ' ἂν* codd.: corr. Dawes || **165** *ἀπείη* **L** s.l., **ZgZo**[c] *ἀπήει* **LKRT** *ἀπίη* **AUY** | *κἀνιαύσιος***** **L** *-ιον* Brunck || **166** *χρείη* Brunck *χρεῖ' ἦ* **AUYZgT** fort. *χρεῖ. ἡ* **L**[ac] *χρεῖ'. ἤ* **L**[(pc)] *χρεῖ' ἤ* **K** *χρὴ ἤ* **R** *χρεί' ἦ* **Zo**

ἢ τοῦθ' ὑπεκδραμόντα τοῦ χρόνου τέλος
τὸ λοιπὸν ἤδη ζῆν ἀλυπήτωι βίωι.
[τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα
170 τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων.]
ὧς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε
Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη.
καὶ τῶνδε ναμέρτεια συμβαίνει χρόνου
τοῦ νῦν παρόντος ὧι τελεσθῆναι χρεών·
175 ὥσθ' ἡδέως εὕδουσαν ἐκπηδᾶν ἐμὲ
φόβωι, φίλαι, ταρβοῦσαν, εἴ με χρὴ μένειν
πάντων ἀρίστου φωτὸς ἐστερημένην.

ΧΟ. εὐφημίαν νυν ἴσχ', ἐπεὶ καταστεφῆ
στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χάριν λόγων.

ΑΓΓΕΛΟΣ

180 δέσποινα Δηιάνειρα, πρῶτος ἀγγέλων
ὄκνου σε λύσω· τὸν γὰρ Ἀλκμήνης τόκον
καὶ ζῶντ' ἐπίστω καὶ κρατοῦντα κἀκ μάχης
ἄγοντ' ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.

ΔΗ. τίν' εἶπας, ὦ γεραιέ, τόνδε μοι λόγον;

185 ΑΓ. τάχ' ἐς δόμους σοὺς τὸν πολύζηλον πόσιν
ἥξειν, φανέντα σὺν κράτει νικηφόρωι.

ΔΗ. καὶ τοῦ τόδ' ἀστῶν ἢ ξένων μαθὼν λέγεις;

ΑΓ. ἐν βουθερεῖ λειμῶνι πρὸς πολλοὺς θροεῖ

167 τοῦδ' Wunder | ὑπερδραμόντα Burges || **169–170** del. Bergk || **171** ὧς Blaydes ὡς codd. || **174** ὧι Hense ὡς codd. || **175** ἡδέως sunt quibus displicet || **177** om. L[ac], add. L[s] || **178** εὐφημία Zo | νυν Blaydes νῦν codd. || **179** χάριν **KR** χαρὰν rell. χάρις per χαρὰ explicat Hesychius χρείαν Margoliouth || **181** γόνον **RZg** || **182** κἀκ] καὶ **R** || **184** γηραιέ **ZoT** || **187** τοῦ τόδ' Brunck ποῦ τόδ' **R** τοῦτο δ' rell. | ἔχεις **Zo** || **188** πρόσπολος codd.: corr. Hermann

Λίχας ὁ κῆρυξ ταῦτα· τοῦ δ' ἐγὼ κλύων
190 *ἀπῆιξ', ὅπως τοι πρῶτος ἀγγείλας τάδε*
πρὸς σοῦ τι κερδάναιμι καὶ κτώιμην χάριν.
ΔΗ. *αὐτὸς δὲ πῶς ἄπεστιν, εἴπερ εὐτυχεῖ;*
ΑΓ. *οὐκ εὐμαρείαι χρώμενος πολλῆι, γύναι·*
κύκλωι γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς
195 *κρίνει παραστάς, οὐδ' ἔχει βῆναι πρόσω·*
τί γάρ; ποθῶν ἕκαστά γ' ἐκμαθεῖν θέλων
οὐκ ἂν μεθεῖτο πρὶν καθ' ἡδονὴν κλύειν.
οὕτως ἐκεῖνος οὐχ ἑκών, ἑκοῦσι δὲ
ξύνεστιν. ὄψει δ' αὐτὸν αὐτίκ' ἐμφανῆ.
200 ΔΗ. *ὦ Ζεῦ, τὸν Οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις,*
ἔδωκας ἡμῖν ἀλλὰ σὺν χρόνωι χαράν.
φωνήσατ', ὦ γυναῖκες, αἵ τ' εἴσω στέγης
αἵ τ' ἐκτὸς αὐλῆς, ὡς ἄελπτον ὄμμ' ἐμοὶ
φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.

205 ΧΟ. *ἀνολολύξεται δόμος*
ἐφεστίοις ἀλαλαγαῖς
⟨....................⟩
ὁ μελλόνυμφος ⟨ὕμνος⟩·
ἐν δὲ κοινὸς ἀρσένων

190 *σοι* Brunck ‖ **191** *πρός σού* Blaydes ‖ **193** *πολλῆι*] *ποδοῖν* Dawe ‖ **195** *περιστάς* Paley ‖ **196** *τί γάρ; ποθῶν* M. Schmidt *τὸ γὰρ ποθοῦν* codd. *τοῦ γὰρ ποθῶν* Král | *ἕκαστά γ'* Dawe *ἕκαστος* codd. | *θέλων* cum *μεθεῖτο* intelligendum ‖ **197** *πρὶν*] *πως* **R** | *ἡδονὰς* **Zg** ‖ **199** *αὐτίκ' αὐτὸν* **T** ‖ **202** paragraph. i. m. **L** ‖ **204** *ἀνασχὼν* **L** in lin., **R** ‖ **205** *ἀνολολύξετε* (*-ξατε* **KZg** *-ζετε* **Zo** *-ξον* **T**) *δόμοις* codd.: corr. Elmsley: cf. Eur. El. 691 *ἀνολολυξάτω δόμος* Burges: *ὁ πᾶς οἶκος Ἡρακλέους θυσίας καὶ εὐχὰς ποιείτω* **ΣL** ‖ **206** *ἐφεστίους* **R** | *ἀλαλαγαῖς* **ZgZo** *ἀλλαλαγαῖς* **T** *ἀλαλαῖς* rell. | post hunc versum lacunam indicavit Dawe ‖ **207** ⟨*ὕμνος*⟩ Hense, quod fortasse olim in fine versus omissi stetit

ἴτω κλαγγὰ τὸν εὐφαρέτραν
Ἀπόλλω προστάταν,
210 *ὁμοῦ δὲ παιᾶνα παι-*
ᾶν' ἀνάγετ' ὦ παρθένοι.
βοᾶτε τὰν ὁμόσπορον
Ἄρτεμιν Ὀρτυγίαν ἐλαφαβόλον
215 *ἀμφίπυρον γείτονάς τε Νύμφας.*
ἄισομαι, οὐδ' ἀπώσομαι
τὸν αὐλόν, ὦ τύραννε τᾶς ἐμᾶς φρενός.
ἰδού μ' ἀναταράσσει,
εὐοῖ εὐοῖ,
ὁ κισσὸς ἄρτι βακχίαν
220 *ποδὸς στρέφων ἅμιλλαν.*
ἰὼ ἰὼ Παιάν·
ἴδε ἴδ', ὦ φίλα γύναι,
τάδ' ἀντίπρωιρα δή σοι
βλέπειν πάρεστ' ἐναργῆ.

225 *ΔΗ.* *ὁρῶ, φίλαι γυναῖκες· οὐδάμ' ὄμματος*
φρουρὰ παρῆκε τόνδε μὴ λεύσσειν στόλον.
χαίρειν δὲ τὸν κήρυκα προυννέπω, χρόνωι
πολλῶι φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.

209 *Ἀπόλλωνα* codd.: corr. Dindorf || **210** *ὁμοῦ δὲ καὶ* **T** || **212** *τάν θ'* Musgrave || **214** *ἐλαφαβόλον* **LZo** *-ηβόλον* **KRZg** *-οβόλον* **AUYT** || **216** *ἄισομαι* Dawe post Reiske (*ἀείσομαι*) *ἀείρομ'* codd. *ἀείρομαι* Hesychius || **217** *τύρανν' ἐμᾶς* **T** || **219a** *εὐοῖ εὐοῖ* Dindorf *εὐοῖ μ'* codd.: de orthographia cf. Apoll. Dysc. 320, 1 || **219b** *βακχείαν* codd.: corr. Brunck || **220** *ποδὸς στρέφων* Page: *ποδὸς τρέφων* iam Blaydes *ὑποστρέφων* codd. || **225** *οὐδάμ'* Dawe *οὐδέ μ'* codd. || **226** *φρουρὰν* Musgrave | *παρῆκε* Dawe *παρῆλθε* codd. | *ἐς τόνδε* **ZoT** | *μὴ οὐ* Hermann || **228** *φέρεις* **LR**, Suda 4, 791, 25 *φέρειο* **K**

ΛΙΧΑΣ

ἀλλ' εὖ μὲν ἵγμεθ', εὖ δὲ προσφωνούμεθα,
230 γύναι, κατ' ἔργου κτῆσιν· ἄνδρα γὰρ καλῶς
πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.
ΔΗ. ὦ φίλτατ' ἀνδρῶν, πρῶθ' ἃ πρῶτα βούλομαι
δίδαξον, εἰ ζῶνθ' Ἡρακλῆ προσδέξομαι.
ΛΙ. ἔγωγέ τοί σφ' ἔλειπον ἰσχύοντά τε
235 καὶ ζῶντα καὶ θάλλοντα κοὐ νόσωι βαρύν.
ΔΗ. ποῦ γῆς πατρώιας εἴτε βαρβάρου; λέγε.
ΛΙ. ἀκτή τίς ἐστ' Εὐβοιίς, ἔνθ' ὁρίζεται
βωμοὺς τέλη τ' ἔγκαρπα Κηναίωι Διί.
ΔΗ. εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός;
240 *ΛΙ.* εὐχαῖς, ὅθ' ἥιρει τῶνδ' ἀνάστατον δορὶ
χώραν γυναικῶν ὧν ὁρᾶις ἐν ὄμμασιν.
ΔΗ. αὗται δέ, πρὸς θεῶν, τοῦ ποτ' εἰσὶ καὶ τίνες;
οἰκτραὶ γάρ, εἰ μὴ ξυμφοραὶ κλέπτουσί με.
ΛΙ. ταύτας ἐκεῖνος Εὐρύτου πέρσας πόλιν
245 ἐξείλεθ' αὑτῶι κτῆμα καὶ θεοῖς κριτόν.
ΔΗ. ἦ κἀπὶ ταύτηι τῆι πόλει τὸν ἄσκοπον
χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον;
ΛΙ. οὔκ, ἀλλὰ τὸν μὲν πλεῖστον ἐν Λυδοῖς χρόνον
κατείχεθ', ὥς φησ' αὐτός, οὐκ ἐλεύθερος,
250 ἀλλ' ἐμποληθείς – τοῦ λόγου δ' οὐ χρὴ φθόνον,
γύναι, προσεῖναι, Ζεὺς ὅτου πράκτωρ φανῆι –

229 *προσφωνοίμεθ' ἄν* Nauck || **233** *Ἡρακλέα* codd.: corr. Dindorf || **237** *τις ἔστ'* codd. | *Εὐβοιΐς* UYZoT *Εὐβοίς* rell. || **238** *τελεῖ* **AUY** || **239** *κραίνων* Nauck || **240** *εὐκταῖ'* **AUY** *εὐχ'* **R** || **243** *ξυμφοραὶ* **AUY** *-ᾶι* rell. || **245** *αὐτῶι* **L** *ἃς τῶ* **R** *αὐτοῖς* **Zo** || **247** *ἀνήριθμον* **AUY** *ἀρίθμιος* **R**[ac] *ἀρίθμιον γρ.* in **AUY**, et ita fere rell. *ἀνήριθμος* Erfurdt || **250** *τῶι λόγωι* Margoliouth, sed cf. Ant. 1252, Oed. Col. 1198 || **251** *Ζεὺς δ'* **Zo**

[κεῖνος δὲ πραθεὶς Ὀμφάλῃ τῇ βαρβάρῳ
ἐνιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει.]
χοὕτως ἐδήχθη τοῦτο τοὔνειδος λαβὼν
255 *ὥσθ' ὅρκον αὑτῷ προσβαλὼν διώμοσεν*
ἦ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους
ξὺν παιδὶ καὶ γυναικὶ δουλώσειν ἔτι.
κοὐχ ἠλίωσε τοὔπος, ἀλλ', ὅθ' ἁγνὸς ἦν,
στρατὸν λαβὼν ἐπακτὸν ἔρχεται πόλιν
260 *τὴν Εὐρυτείαν· τόνδε γὰρ μεταίτιον*
μόνον βροτῶν ἔφασκε τοῦδ' εἶναι πάθους,
ὃς αὐτὸν ἐλθόντ' ἐς δόμους ἐφέστιον,
ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
ἐπερρόθησε, πολλὰ δ' ἀτηρᾷ φρενί,
265 *λέγων χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη*
τῶν ὧν τέκνων λείποιτο πρὸς τόξου κρίσιν,
† φώνει δὲ δοῦλος ἀνδρὸς ὡς ἐλευθέρου
ῥαίοιτο· † δείπνοις δ' ἡνίκ' ἦν ᾠνωμένος
ἔρριψεν αὐλῶν ἐκτός. ὧν ἔχων χόλον,
270 *ὡς ἵκετ' αὖθις Ἴφιτος Τιρυνθίαν*
πρὸς κλειτύν, ἵππους νομάδας ἐξιχνοσκοπῶν,
τότ' ἄλλοσ' αὐτὸν ὄμμα, θἀτέρᾳ δὲ νοῦν

252 sq. eiecit Wunder ‖ 254 *ἐδείχθη τοὔνειδος αὐλᾷ λαβών* **R**: *ἐδείχθη* etiam **L** ‖ 255 *αὐτῷ* **YZgT** de **Zo** incertum *αὑτῷ* rell. ‖ 256 *τόνδε* **R** ‖ 257 *παισὶ* Tournebou ‖ 262 *ἐφέστιον ἐς δόμους* **YZg**[ac] | *εἰς* **RZo** ‖ 264 *φρενί*] *χερί* Blaydes: cf. Eur. Hipp. 1448 | lacunam post hunc versum indicavit Bergk, sed cf. comment. nostrum ad Oed. Tyr. 117 ‖ 266 *λείποιτο* **KAUYT** *λίποιτο* rell. ‖ 267 *φώνει*] *φανεὶς* Hermann | *ὡς*] *ἀντ'* Wunder *ἐξ* Nauck ‖ 268 *οἰνωμένος* codd.: corr. Porson ‖ 269 *αὐλῶν ἐκτός* Dawe *αὐτὸν ἐκτός* **ZoT** *ἐκτὸς αὐτός* **K** *ἐκτὸς αὐτόν* rell. ‖ 271 *κλιτὺν* codd. ‖ 272 *θατέρᾳ* **ZgZoT** *θητέρᾳ* volunt rell.: probat Radermacher, Wiener Studien 46 (1928) 134

ἔχοντ', ἀπ' ἄκρας ἧκε πυργώδους πλακός.
ἔργου δ' ἕκατι τοῦδε μηνίσας ἄναξ
275 *ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ Ὀλύμπιος*
πρατόν νιν ἐξέπεμψεν, οὐδ' ἠνέσχετο
ὁθούνεκ' αὐτὸν μοῦνον ἀνθρώπων δόλωι
ἔκτεινεν· εἰ γὰρ ἐμφανῶς ἠμύνατο,
Ζεύς τἂν συνέγνω ξὺν δίκηι χειρουμένωι·
280 *ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες.*
κεῖνοι δ' ὑπερχλίοντες ἐκ γλώσσης κακῆς
αὐτοὶ μὲν Ἅιδου πάντες εἴσ' οἰκήτορες,
πόλις δὲ δούλη· τάσδε δ' ἅσπερ εἰσορᾶις
ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον
285 *χωροῦσι πρὸς σέ· ταῦτα γὰρ πόσις τε σὸς*
ἐφεῖτ', ἐγὼ δὲ πιστὸς ὢν κείνωι τελῶ.
αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα
ῥέξηι πατρώιωι Ζηνὶ τῆς ἁλώσεως,
φρόνει νιν ὡς ἥξοντα· τοῦτο γὰρ λόγου
290 *πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν.*
ΧΟ. *ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ*
τῶν μὲν παρόντων, τὰ δὲ πεπυσμένηι λόγωι.
ΔΗ. *πῶς δ' οὐκ ἐγὼ χαίροιμ' ἄν, ἀνδρὸς εὐτυχῆ*
κλύουσα πρᾶξιν τήνδε, πανδίκωι φρενί;
295 *πολλή 'στ' ἀνάγκη τῆιδε τοῦτο συντρέχειν.*

273 *ἧκε*] *ἔδικε* Meineke: *ἐδίσκευσε* Σ || **274** *ἄναξ*] *πατὴρ*, v. 275 eiecto, Hense || **275** *Οὐλύμπιος* **R** *Ου-* utroque spiritu **T** *Ὀλυμπίων* pap. Oxy. 1805 a. c. || **278** *ἠμύνετο* **Zg** || **280** del. Deventer || **281** *ὑπερχλίοντες* **L**[ac]**KR** et lemma **ΣL** *ὑπερχλιδῶντες* **L**[spc] rell. || **286** *τε* pap. Amst. Inv. 68 s. l., coni. Tournebou || **292** *τὰ* Scaliger *τῶν* codd. | *λόγωι* **LAUY** *λόγων* rell. || **295** *πολλή 'στ'* **AUY**, et cod. G Suda 4, 504, 14 *πολλῆστ'* **L** *πολλή τ'* **KRZg**, et Suda cod. A *πολλῆ τ'* **T** *πολλὴ δ'* **Zo** *πολλή σ'* Suda FVM *πολλή γ'* Fröhlich | versum del. Dindorf: iam suspic. Wunder

ὅπως δ' ἔνεστι τοῖσί γ' εὖ σκοπουμένοις
ταρβεῖν τὸν εὖ πράσσοντα μὴ σφαλῆι ποτε.
ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, φίλαι,
ταύτας ὁρώσηι δυσπότμους ἐπὶ ξένης
300 *χώρας ἀοίκους ἀπάτοράς τ' ἀλωμένας,*
αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον.
ὦ Ζεῦ τροπαῖε, μή ποτ' εἰσίδοιμί σε
πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά ποι,
305 *μηδ', εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.*
οὕτως ἐγὼ δέδοικα τάσδ' ὁρωμένη.
ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων,
ἄνανδρος ἢ τεκνοῦσσα; πρὸς μὲν γὰρ φύσιν
πάντων ἄπειρος τῶνδε, γενναία δέ τις.
310 *Λίχα, τίνος ποτ' ἐστὶν ἡ ξένη βροτῶν;*
τίς ἡ τεκοῦσα, τίς δ' ὁ φιτύσας πατήρ;
ἔξειπ'· ἐπεί νιν τῶνδε πλεῖστον ᾤκτισα
βλέπουσ' ὅσωιπερ καὶ φρονεῖν οἶδεν μόνη.
ΛΙ. *τί δ' οἶδ' ἐγώ; τί δ' ἄν με καὶ κρίνοις; ἴσως*
315 *γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις.*
ΔΗ. *μὴ τῶν τυράννων; Εὐρύτου σπορά τις ἦν;*
ΛΙ. *οὐκ οἶδα· καὶ γὰρ οὐδ' ἀνιστόρουν μακράν.*
ΔΗ. *οὐδ' ὄνομα πρός του τῶν ξυνεμπόρων ἔχεις;*

296 *ὅμως δ'*] *καὶ μὴν* Suda | *τοῖσί γ'* Dawe *τοῖσιν* codd. Soph. *τοῖς μὲν* Suda cod. V i. m. *τοῖς* Suda rell. ‖ **298** *ὄκνος* Wakefield ‖ **300** *χήρας* Reiske ‖ **304** *οὕτω*] *αὐτῆς* Hense | *πηι* rec. *τοι* **Zo** ‖ **305** eiecit G. H. Müller ‖ **307** sqq. 307, 311, 310, 308, 309, 312 hoc ordine Braun, qui ⟨*εἰμὶ*⟩ cum *ἄπειρος* intelligit ‖ **308** *τεκνοῦσσα* Brunck *τεκνοῦσα* **L** s. l., **KA**[γρ]**Y**[γρ] *τεκοῦσα* rell. ‖ **309** *πόνων* Subkow ‖ **311** *τίς δ' ἡ* **ZgT** | *τεκνοῦσα* **U**[γρ] ‖ **313** *εἶδον μόνην* Lloyd-Jones ‖ **316** *μή του* **ZgT** | *Εὐρύτου*] *τῶν ἐκεῖ* Heimsoeth ‖ **317** *οὐδ'*] *οὐκ* **RT**

ΛΙ. ἥκιστα σιγῆι τοὐμὸν ἔργον ἤνυτον.
320 ΔΗ. εἴπ', ὦ τάλαιν', ἀλλ' ἡμὶν ἐκ σαυτῆς· ἐπεὶ
καὶ ξυμφορά τοι μὴ εἰδέναι σέ γ' ἥτις εἶ.
ΛΙ. οὔ τἄρα τῶι γε πρόσθεν οὐδὲν ἐξ ἴσου
χρόνωι διήσει γλῶσσαν, ἥτις οὐδαμὰ
προὔφηνεν οὔτε μείζον' οὔτ' ἐλάσσονα,
325 ἀλλ' αἰὲν ὠδίνουσα συμφορᾶς βάρος
δακρυρροεῖ δύστηνος, ἐξ ὅτου πάτραν
διήνεμον λέλοιπεν. ἡ δέ τοι τρυφὴ
κακὴ μὲν αὕτη γ', ἀλλὰ συγγνώμην ἔχει.
ΔΗ. ἡ δ' οὖν ἐάσθω, καὶ πορευέσθω στέγας
330 οὕτως ὅπως ἥδιστα, μηδὲ πρὸς κακοῖς
τοῖς οἶσιν ἄλλην πρός γ' ἐμοῦ λύπην λάβηι·
ἅλις γὰρ ἡ παροῦσα. πρὸς δὲ δώματα
χωρῶμεν ἤδη πάντες, ὡς σύ θ' οἷ θέλεις
σπεύδηις, ἐγὼ δὲ τἄνδον ἐξαρκῆ τιθῶ.
335 ΑΓ. αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνασ', ὅπως
μάθηις ἄνευ τῶνδ' οὕστινάς γ' ἄγεις ἔσω,
ὧν τ' οὐδὲν εἰσήκουσας ἐκμάθηις ἃ δεῖ·
[τούτων ἔχω γὰρ πάντ' ἐπιστήμην ἐγώ.]

320 *ἡμὶν* **AUYT** *ἦμιν* **L** *ἦμιν* **K** *ἡμῖν* **ZgZo** ‖ **321** *τοι*] *τις* **ZgT** om. **Zo** *τὸ* Meineke | *μηδὲν εἰδέναι τίς εἶ* **R** *καὶ ξύμφορόν τοί μ' εἰδέναι* Roscher | *σέ μ'* Hermann ‖ **323** *διοίσει* codd.: corr. Wakefield | *οὐδαμὰ* Hermann *-οῦ* **Zg** *-ᾶ(ι)* rell. ‖ **326** *δακρυρροεῖ* **K**, novit $\mathbf{L}^{ac}$ *-όει* $\mathbf{L}^{pc}$ rell. ‖ **327** *τρυφὴ* A. Y. Campbell *τύχη* codd. ‖ **328** *αὕτη* **Zo** *αὑτή* **KZg** *αὑτῆι* $\mathbf{L}^{pc}$ *αὑτῆ(ι)* $\mathbf{L}^{ac}$ rell. (etiam *κακῆ* $\mathbf{L}^{ac}$) | *γ'*] *'στ'* Hartung | *ἔχοι* **K** *ἔχε* Hilberg ‖ **331** *οἷσιν* **R** *οὖσιν* rell. | *ἄλλην … λύπην* **Zo** *λύπην … λύπην* **LKR** *λύπην … λύπης* **AUY** *λοιπὴν* (*-εῖν* $\mathbf{U}^{\gamma\rho}$) … *λύπην* $\mathbf{U}^{\gamma\rho}\mathbf{Y}^{\gamma\rho}$**ZgT** *καινὴν … λύπην* Schenkl *λύπην … διπλῆν* F. W. Schmidt | *λάβηι* Blaydes *λάβοι* codd. ‖ **334** *τε* Tournebou: cf. 286 ‖ **335** *ἐμμείνασ'* **AUY** ‖ **336** *γ'* **AUY** *τ'* **T** om. rell. ‖ **337** *ἃ* **T** *γ' ἃ* **AUY** *θ' ἃ* rell. ‖ **338** eiecit Hense *τούτων ἐγὼ γὰρ πάντ' ἐπιστήμων πέλω* Radermacher

ΔΗ. *τί δ' †ἐστί; τοῦ με† τήνδ' ἐφίστασαι βάσιν;*
340 ΑΓ. *σταθεῖσ' ἄκουσον· καὶ γὰρ οὐδὲ τὸν πάρος*
μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ.
ΔΗ. *πότερον ἐκείνους δῆτα δεῦρ' αὖθις πάλιν*
καλῶμεν, ἢ 'μοὶ ταῖσδέ τ' ἐξειπεῖν θέλεις;
ΑΓ. *σοὶ ταῖσδέ τ' οὐδὲν εἴργεται, τούτους δ' ἔα.*
345 ΔΗ. *καὶ δὴ βεβᾶσι· χὠ λόγος σημαινέτω.*
ΑΓ. *ἀνὴρ ὅδ' οὐδὲν ὧν ἔλεξεν ἀρτίως*
φωνεῖ δίκης ἐς ὀρθόν, ἀλλ' ἢ νῦν κακὸς
ἢ πρόσθεν οὐ δίκαιος ἄγγελος παρῆν.
ΔΗ. *τί φῄς; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς·*
350 *ἃ μὲν γὰρ ἐξείρηκας ἀγνοία μ' ἔχει.*
ΑΓ. *τούτου λέγοντος τἀνδρὸς εἰσήκουσ' ἐγώ,*
πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης
ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ' ἕλοι
τήν θ' ὑψίπυργον Οἰχαλίαν, Ἔρως δέ νιν
355 *μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε,*
οὐ τἀπὶ Λυδοῖς οὐδ' ὑπ' Ὀμφάλῃ πόνων
λατρεύματ', οὐδ' ὁ ῥιπτὸς Ἰφίτου μόρος·
ὃν νῦν παρώσας οὗτος ἔμπαλιν λέγει.
ἀλλ' ἡνίκ' οὐκ ἔπειθε τὸν φυτοσπόρον

339 *τί δ'; ἀντὶ τοῦ* Hartung: *τί δ' ἀντὶ τοῦ* iam Wunder: *τίνος ἕνεκεν* Σ | *ἔστι* AT | *τί δ' ἔστ' ἐφ' οὗ* (*ᾧι* debuit) *μοι* Madvig | *ἐφίστασαι* L[pc]K, et s. l. AY *ἐπίστασαι* L[ac] rell. ‖ **340** *οὐδὲ τῶν* RZo *οὐδὲν τῶν* U ‖ **340** sq. *οὔτε … οὔτε* Blaydes ‖ **341** *μύθων* Zo ‖ **343** *ἤ μοι* codd.: corr. Groddeck ‖ **346** *ἀνὴρ* Hermann ‖ **347** *φώνει* K et ΣL | *δικαίως ὀρθὸν* Blaydes: cf. Oed. Tyr. 853 ‖ **350** *ἀγνοία* A *ἀγνοίαι* T *ἄγνοιαν* K *ἄγνοια* seu *ἄγνοιά* rell. ‖ **354** *Ἰταλίαν* R ‖ **356** sq. del. Wunder ‖ **356** *οὐδ' ὑπ'* Blaydes *οὐδ' ἐπ'* AUYZo *οὔτ' ἐπ'* LK *οὔτ' ἀπ'* RZgT ‖ **357** *οὐδὲ ῥιπτὸς* T ‖ **358** *ὃ* Erfurdt *ἃ* Köchly

360 τὴν παῖδα δοῦναι, κρύφιον ὡς ἔχοι λέχος,
ἔγκλημα μικρὸν αἰτίαν θ' ἑτοιμάσας,
ἐπιστρατεύει πατρίδα τὴν ταύτης, ἐν ἧι
† τὸν Εὔρυτον† τόνδ' εἶπε δεσπόζειν θρόνων,
κτείνει τ' ἄνακτα πατέρα τῆσδε, καὶ πόλιν
365 ἔπερσε· καὶ νῦν, ὡς ὁρᾶις, ἥκει δόμους
αὐτός σφε πέμπων οὐκ ἀφροντίστως, γύναι,
οὐδ' ὥστε δούλην· μηδὲ προσδόκα τόδε·
οὐδ' εἰκός, εἴπερ ἐντεθέρμανται πόθωι.
ἔδοξεν οὖν μοι πρὸς σὲ δηλῶσαι τὸ πᾶν,
370 δέσποιν', ὃ τοῦδε τυγχάνω μαθὼν πάρα.
καὶ ταῦτα πολλοὶ πρὸς μέσηι Τραχινίων
ἀγορᾶι συνεξήκουον ὡσαύτως ἐμοί,
ὥστ' ἐξελέγχειν· εἰ δὲ μὴ λέγω φίλα,
οὐχ ἥδομαι, τὸ δ' ὀρθὸν ἐξείρηχ' ὅμως.
375 ΔΗ. οἴμοι τάλαινα, ποῦ ποτ' εἰμὶ πράγματος;
τίν' εἰσδέδεγμαι πημονὴν ὑπόστεγον
λαθραῖον, ὢ δύστηνος· ἆρ' ἀνώνυμος
πέφυκεν, ὥσπερ οὑπάγων διώμνυτο;
ΑΓ. ἦ κάρτα λαμπρὰ καὶ κατ' ὄμμα καὶ φύσιν,

360 *ἔχοι* **AUY** et pap. Oxy. 1805 *ἔχει* **L**[ac]**R** *ἔχηι* **L**[pc] rell. ‖ **361** *θ'* del. Halbertsma ‖ **362** sq. del. Dobree ‖ **362–364** *τὴν ταύτης ... πατέρα* eiecit Hartung ‖ **363** *τὸν Εὔρυτον*] cf. app. crit. ad v. 316 *τὸν ἐργάτην* Wecklein *ἀναξίως* ex. gr. Dawe | *τόνδ'* **Zg** *τῶνδ'* rell. ‖ **365** *καὶ νῦν* * **Zg** *καὶ νῦν γ'* **Zn** *καί νιν* Brunck *καὶ νῦν σφ'* Blaydes ‖ **366** *αὐτός σφε* Dawe *ὡς τούσδε* codd. ‖ **367** *μηδὲ*] *μὴ σὺ* Hartung | *τόδε* **L**[c]**KAUY** *τάδε* **RZgZoT** ut vid. *τόνδε* **L**[ac] ‖ **368** *ἐκτεθέρμανται* Dindorf: *ἐκκέκαυται* **L**[gl] ‖ **370** *ἃ* **U** et pap. Oxy. 1805 ‖ **372** post hunc versum deficit **R** ‖ **377** *ὢ* **Zo** (*ὤ*, coni. Matthiae) *ὦ* rell. ‖ **379** nuntio trib. **AUY**, Deinanirae rell., quo accepto *ἡ κάρτα* coni. Heath: *ἡ* (seu *ἥ*) *καὶ τὰ* codd.: corr. Canter | *ὄνομα* Fröhlich

380 πατρὸς μὲν οὖσα γένεσιν Εὐρύτου ποτὲ
⟨.............................⟩
Ἰόλη 'καλεῖτο, τῆς ἐκεῖνος οὐδαμὰ
βλάστας ἐφώνει δῆθεν οὐδὲν ἱστορῶν.
ΧΟ. ὄλοιντο, μή τι πάντες οἱ κακοί, τὰ δὲ
λαθραῖ' ὃς ἀσκεῖ μὴ πρέπονθ' αὐτῶι κακά.
385 ΔΗ. τί χρὴ ποεῖν, γυναῖκες; ὡς ἐγὼ λόγοις
τοῖς νῦν παροῦσιν ἐκπεπληγμένη κυρῶ.
ΧΟ. πεύθου μολοῦσα τἀνδρός, ὡς τάχ' ἂν σαφῆ
λέξειεν, εἴ νιν πρὸς βίαν κρίνειν θέλοις.
ΔΗ. ἀλλ' εἶμι· καὶ γὰρ οὐκ ἀπὸ γνώμης λέγεις.
390 ΑΓ. ἡμεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποεῖν;
ΔΗ. μίμν', ὡς ὅδ' ἁνὴρ οὐκ ἐμῶν ὑπ' ἀγγέλων
ἀλλ' αὐτόκλητος ἐκ δόμων πορεύεται.
ΛΙ. τί χρή, γύναι, μολόντα μ' Ἡρακλεῖ λέγειν;
δίδαξον, ὡς ἕρποντος, ὡς ὁρᾶις, ἐμοῦ.
395 ΔΗ. ὡς ἐκ ταχείας, σὺν χρόνωι βραδεῖ μολών,
ἄισσεις, πρὶν ἡμᾶς κἀννεώσασθαι λόγους.
ΛΙ. ἀλλ' εἴ τι χρήιζεις ἱστορεῖν, πάρειμ' ἐγώ.
ΔΗ. ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νεμεῖς;

380 *γένεσις* **ZgZoT** | lacunam indicavit Radermacher || **381** *καλεῖτο* codd. | *οὐδαμὰ* Hermann *οὐδαμᾶι* **LK** *-ᾶ* **Zg**[c] rell. || **383** *μή τοι* **Zg**[ac]**T** || **384** *πρέπονθ' αὐτῶι* rec. *-οντ' αὐτῶι* codd. nostri || **385** *ποεῖν* **LK** *ποιεῖν* rell. || **387** *πυθοῦ* Nauck | *ὃς* **Zo** || **388** *νιν* Brunck *μιν* codd. | *κρῖναι* **Zo** | *θέλεις* **KZg** || **389** *ἀπὸ* **KZgZo** *ἄπο* rell. || **390** nuntio trib. Hermann, Deianirae **AUY**, choro rell. | *ποεῖν* **LK** *ποιεῖν* rell. || **391** *ἁνὴρ* Hermann *ἀνὴρ* codd. || **391** sq. choro trib. **AUY** || **393** *μολοῦντα* **AUY** || **394** *ὡς ὁρᾶις* Wakefield *εἰσορᾶις* codd. || **396** *καὶ νεώσασθαι* codd.: corr. Hermann *ἀνανεώσασθαι* testantur **Σ** et Eustathius 811, 20 || **397–433** personarum notas variis modis distribuunt codd.: verum ordinem restituit Tyrwhitt || **398** *νεμεῖς* Nauck ex **Σ** *νέμεις* codd.

ΛΙ. ἴστω μέγας Ζεύς, ὧν γ' ἂν ἐξειδὼς κυρῶ.
400 ΔΗ. τίς ἡ γυνὴ δῆτ' ἐστὶν ἣν ἥκεις ἄγων;
ΛΙ. Εὐβοιίς· ὧν δ' ἔβλαστεν οὐκ ἔχω λέγειν.
ΑΓ. οὗτος, βλέφ' ὧδε. πρὸς τίν' ἐννέπειν δοκεῖς;
ΛΙ. σὺ δ' εἰς τί δή με τοῦτ' ἐρωτήσας ἔχεις;
ΑΓ. τόλμησον εἰπεῖν, εἰ φρονεῖς, ὅ σ' ἱστορῶ.
405 ΛΙ. πρὸς τὴν κρατοῦσαν Δηιάνειραν, Οἰνέως
κόρην, δάμαρτά θ' Ἡρακλέους, εἰ μὴ κυρῶ
λεύσσων μάταια, δεσπότιν τε τὴν ἐμήν.
ΑΓ. τοῦτ' αὔτ' ἔχρῃζον, τοῦτό σου μαθεῖν· λέγεις
δέσποιναν εἶναι τήνδε σήν;
ΛΙ. δίκαια γάρ.
410 ΑΓ. τί δῆτα; ποίαν ἀξιοῖς δοῦναι δίκην,
ἢν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν;
ΛΙ. πῶς μὴ δίκαιος; τί ποτε ποικίλας ἔχεις;
ΑΓ. οὐδέν· σὺ μέντοι κάρτα τοῦτο δρῶν κυρεῖς.
ΛΙ. ἄπειμι· μῶρος δ' ἦ πάλαι κλύων σέθεν.
415 ΑΓ. οὔ, πρίν γ' ἂν εἴπῃς ἱστορούμενος βραχύ.
ΛΙ. λέγ', εἴ τι χρῄζεις· καὶ γὰρ οὐ σιγηλὸς εἶ.
ΑΓ. τὴν αἰχμάλωτον, ἣν ἔπεμψας ἐς δόμους,
κάτοισθα δήπου;
ΛΙ. φημί· πρὸς τί δ' ἱστορεῖς;
ΑΓ. οὔκουν σὺ ταύτην, ἣν ὑπ' ἀγνοίας ὁρᾷς,
420 Ἰόλην ἔφασκες Εὐρύτου σπορὰν ἄγειν;
ΛΙ. ποίοις ἐν ἀνθρώποισι; τίς πόθεν μολὼν

403 *ἐρωτήσασ'* codd.: corr. Tyrwhitt || **404** *ὅ σ'* vel *ὅσ'* **KA UY** *ὅς* **L** *ἅ σ'* **ZgZoT** || **406** *κούρην* **K** || **411** *ἢν* * * **L** || **412** *ποικίλασ'* **LKZg**[ac] *ποικίλλασ'* **Zg**[pc] rell.: corr. Tyrwhitt || **413** *τοῦτο κάρτα* **Zo** | *τοῦτο* omisso, *δρῶν δοκεῖς τόδε* **Zg** || **414** *ἦ* Elmsley *ἦν* codd. || **418** *κάτοισθα δῆτ'; ΛΙ. οὔ φημι* Tournebou || **419** vix sanum: *ἧς σύ γ' ἀγνοεῖς σπορᾶς* Wecklein: idem sed cum *γονάς* iam Schneidewin

σοὶ μαρτυρήσει ταῦτ' ἐμοῦ κλύειν πάρα;
ΑΓ. πολλοῖσιν ἀστῶν· ἐν μέσηι Τραχινίων
ἀγορᾶι πολύς σου ταῦτά γ' εἰσήκουσ' ὄχλος.
425 ΛΙ. κλύειν γ' ἔφασκον· ταὐτὸ δ' οὐχὶ γίγνεται,
δόκησιν εἰπεῖν κἀξακριβῶσαι λόγον.
ΑΓ. ποίαν δόκησιν; οὐκ ἐπώμοτος λέγων
δάμαρτ' ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν;
ΛΙ. ἐγὼ δάμαρτα; πρὸς θεῶν, φράσον, φίλη
430 δέσποινα, τόνδε τίς ποτ' ἐστὶν ὁ ξένος.
ΑΓ. ὃς σοῦ παρὼν ἤκουσεν ὡς ταύτης πόθωι
πόλις δαμείη πᾶσα, κοὐχ ἡ Λυδία
πέρσειεν αὐτήν, ἀλλ' ὁ τῆσδ' ἔρως φανείς.
ΛΙ. ἄνθρωπος, ὦ δέσποιν', ἀποστήτω. τὸ γὰρ
435 νοσοῦντα ληρεῖν ἀνδρὸς οὐχὶ σώφρονος.
ΔΗ. μή, πρός σε τοῦ κατ' ἄκρον Οἰταῖον νάπος
Διὸς καταστράπτοντος, ἐκκλέψηις λόγον.
οὐ γὰρ γυναικὶ τοὺς λόγους ἐρεῖς κακῆι,
οὐδ' ἥτις οὐ κάτοιδε τἀνθρώπων ὅτι
440 χαίρειν πέφυκεν οὐχὶ τοῖς αὐτοῖς ἀεί.
Ἔρωτι μέν νυν ὅστις ἀντανίσταται,
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ.
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει,

422 *πάρα* Bothe *παρών* codd. ‖ **424** *ταῦτά γ'* **AUYT** *ταῦτ'* rell. ‖ **425** *ναί* ante *κλύειν* habent codd.: eiecit Dindorf | *γ'* om. **UZo** *δ'* **Zg** | *ἔφασκε* **Zo** ‖ **427** *οὐδ'* **KZgT** ‖ **429** *φιλῶς* **Zo** ‖ **432** *κοὐχ ἡ* **AUY** *κοὐχὶ* rell. ‖ **433** *σφαλείς* Musgrave ‖ **434** *ἄνθρωπος* codd.: corr. Brunck | *παρστήτω* **ΣL**^{γρ} *ἀπιστήτω* **Zo** *ἐπιστήτω* **T** ‖ **435** *νοσοῦντι* codd.: corr. Heath *νοσοῦν τι* Étienne ‖ **436** *πρός σε* Hermann *πρὸς σὺ* **AUY** *πρὸς σὲ* rell. ‖ **440** *πεφύκασ'* Nauck ‖ **441** *νυν* Eustathius 792, 20 *οὖν* **ZgZoT**, et Stobaei MA 4, 440, 13, ubi *νοῦν* S, *γοῦν* Tr *νῦν* rell. (*νῦν* L^{c}) ‖ **443** *ὅτων* Wakefield

[*κἀμοῦ γε· πῶς δ' οὐ χἀτέρας οἵας γ' ἐμοῦ;*]
445 *ὥστ' εἴ τι τὠμῶι γ' ἀνδρὶ τῆιδε τῆι νόσωι*
ληφθέντι μεμπτός εἰμι, κάρτα μαίνομαι,
ἢ τῆιδε τῆι γυναικί, τῆι μεταιτίαι
τοῦ μηδὲν αἰσχροῦ μηδ' ἐμοὶ κακοῦ τινος.
οὐκ ἔστι ταῦτ'. ἀλλ' εἰ μὲν ἐκ κείνου μαθὼν
450 *ψεύδηι, μάθησιν οὐ καλὴν ἐκμανθάνεις·*
εἰ δ' αὐτὸς αὑτὸν ὧδε παιδεύεις, ὅταν
θέληις γενέσθαι χρηστός, ὀφθήσηι κακός.
ἀλλ' εἰπὲ πᾶν τἀληθές· ὡς ἐλευθέρωι
ψευδεῖ καλεῖσθαι κὴρ πρόσεστιν οὐ καλή.
455 *ὅπως δὲ λήσεις, οὐδὲ τοῦτο γίγνεται·*
πολλοὶ γὰρ οἷς εἴρηκας, οἳ φράσουσ' ἐμοί.
κεἰ μὲν δέδοικας, οὐ καλῶς ταρβεῖς, ἐπεὶ
τὸ μὴ πυθέσθαι, τοῦτό μ' ἀλγύνειεν ἄν·
τὸ δ' εἰδέναι τί δεινόν; οὐχὶ χἀτέρας
460 *πλείστας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή;*
κοὔπω τις αὐτῶν ἔκ γ' ἐμοῦ λόγον κακὸν
ἠνέγκατ' οὐδ' ὄνειδος· ἥδε τ' οὐδ' ἂν εἰ
κάρτ' ἐντακείη τῶι φιλεῖν, ἐπεί σφ' ἐγὼ
ᾤκτιρα δὴ μάλιστα προσβλέψασ', ὅτι
465 *τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσεν.*
καὶ γῆν πατρώιαν οὐχ ἑκοῦσα δύσμορος
ἔπερσε κἀδούλωσεν. ἀλλὰ ταῦτα μὲν
ῥείτω κατ' οὖρον· σοὶ δ' ἐγὼ φράζω κακὸν
πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.

444 *γ'* om. T, ante *οἵας* collocat Zg^{ac} | versum eiecit Wunder || **445** om. L^{ac}, add. L^{s} | *γ' ἀνδρὶ* Schaefer *τἀνδρὶ* codd. || **447** *μεταιτίαι* AUY *μετ' αἰτίαι* L *μετ' αἰτίωι* L s. l., K *μήτ' αἰτίω* ZgZoT || **451** *αὐτὸς αὑτὸν* LU *αὐτὸς αὐτόν* rell. || **455** *λήσης* LK^{pc} || **460** *ἀνήρεις* Σ novisse videtur || **466** *ἑκοῦσ' ἥ* Dawe || **468** *φράσω* K || **469** *δέ μ'* UZgZoT

470 *ΧΟ.* *πείθου λεγούσηι χρηστά, κού μέμψηι χρόνωι*
γυναικὶ τῆιδε, κἀπ' ἐμοῦ κτήσηι χάριν.
ΛΙ. *ἀλλ', ὦ φίλη δέσποιν', ἐπεί σε μανθάνω*
θνητὴν φρονοῦσαν θνητὰ κοὐκ ἀγνώμονα,
πᾶν σοι φράσω τἀληθές, οὐδὲ κρύψομαι.
475 *ἔστιν γὰρ οὕτως ὥσπερ οὗτος ἐννέπει·*
ταύτης ὁ δεινὸς ἵμερός ποθ' Ἡρακλῆ
διῆλθε, καὶ τῆσδ' οὕνεχ' ἡ πολύφθορος
καθηιρέθη πατρῶιος Οἰχαλία δορί.
καὶ ταῦτα, δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν,
480 *οὔτ' εἶπε κρύπτειν οὔτ' ἀπηρνήθη ποτέ,*
ἀλλ' αὐτός, ὦ δέσποινα, δειμαίνων τὸ σὸν
μὴ στέρνον ἀλγύνοιμι τοῖσδε τοῖς λόγοις,
ἥμαρτον, εἴ τι τῶνδ' ἁμαρτίαν νέμεις.
ἐπεί γε μὲν δὴ πάντ' ἐπίστασαι λόγον,
485 *κείνου τε καὶ σὴν ἐξ ἴσου κοινὴν χάριν*
καὶ στέργε τὴν γυναῖκα καὶ βούλου λόγους
οὓς εἶπας ἐς τήνδ' ἐμπέδως εἰρηκέναι·
ὡς τἄλλ' ἐκεῖνος πάντ' ἀριστεύων χεροῖν
τοῦ τῆσδ' ἔρωτος εἰς ἅπανθ' ἥσσων ἔφυ.
490 *ΔΗ.* *ἀλλ' ὧδε καὶ φρονοῦμεν ὥστε ταῦτα δρᾶν,*
κοὔτοι νόσον γ' ἐπακτὸν ἐξαρούμεθα,
θεοῖσι δυσμαχοῦντες. ἀλλ' εἴσω στέγης
χωρῶμεν, ὡς λόγων τ' ἐπιστολὰς φέρηις,
ἅ τ' ἀντὶ δώρων δῶρα χρὴ προσαρμόσαι,
495 *καὶ ταῦτ' ἄγηις· κενὸν γὰρ οὐ δίκαιά σε*
χωρεῖν, προσελθόνθ' ὧδε σὺν πολλῶι στόλωι.

470 *πιθοῦ* Dindorf || **472** *σ' ἐκμανθάνω* **T** || **473** *θνητὰ*] *ὀρθὰ* **Zo** || **476** *Ἡρακλῆ* **KAUY** *-εῖ* rell. *-έα* Blaydes || **483** *τῶνδ'* Dawe *τήνδ'* codd. | versum om. **K** || **487** *ἐμπέδους* Nauck || **488** sq. post 478 traiecit Bergk, delent alii || **491** *γ'* om. **LK** *νόσημ'* Nauck | *ἐξαρούμεθα* **ZoT** *ἐξαιρούμεθα* rell. || **495** *κενὸν* **L** s. l., **UZg** *κεινὸν* **KAY** *κεῖνον* **LT** *κοινὸν* **Zo**

ΧΟ. μέγα τι σθένος ἁ Κύπρις· ἐκφέρεται — στρ.
νίκας ἀεί·
καὶ τὰ μὲν θεῶν
παρέβαν, καὶ ὅπως Κρονίδαν ἀπάτα-
500 σεν οὐ λέγω,
οὐδὲ τὸν ἔννυχον Ἅιδαν,
ἢ Ποσειδάωνα, τινάκτορα γαίας.
ἀλλ' ἐπὶ τάνδ' ἄρ' ἄκοιτιν
⟨τίνες⟩ ἀμφίγυοι κατέβαν πρὸ γάμων;
505 τίνες πάμπληκτα παγκόνιτά τ' ἐξ-
ῆλθον ἄεθλ' ἀγώνων;

ὁ μὲν ἦν ποταμοῦ σθένος, ὑψίκερω — ἀντ.
τετραόρου
φάσμα ταύρου,
Ἀχελῷος ἀπ' Οἰνιαδᾶν, ὁ δὲ βακ-
510 χίας ἄπο
ἦλθε παλίντονα Θήβας
τόξα καὶ λόγχας ῥόπαλόν τε τινάσσων,
παῖς Διός· οἳ τότ' ἀολλεῖς
ἴσαν ἐς μέσον ἱέμενοι λεχέων·
515 μόνα δ' εὔλεκτρος ἐν μέσωι Κύπρις
ῥαβδονόμει ξυνοῦσα.

497 *σθένουσ'* $L^{s\gamma\rho}$ | post *Κύπρις* interpungit Wakefield || **498** *θεῶν μὲν* **Zg** || **501** *Ἀΐδαν* codd. || **502** *Ποσειδάωνα* **AUY** *-δῶνα* **LKZg** *-δάονα* **ZoT** || **504** *τίνες* add. Hermann || **505** *παγκόνιτ' ἐπεξῆλθον* Blaydes | *ἐξῆνον* Wakefield: per *διήνυσαν, ἐπεξῆλθον, ἠγωνίσαντο* explicat **Σ** || **508a** *τετραώρου* **ZgZo** *τετράορον* Eustathius 573, 27, sed verum 1316, 6 et 1734, 10 || **508b** *φάσματα* **T** || **510** *βακχείας* codd.: corr. Brunck || **512** *τινάξας* **Zg** || **514** *ἐς* om. **T**

τότ' ἦν χερός, ἦν δὲ ταρσῶν πάταγος *ἐπῳδ.*
ταυρείων τ' ἀνάμιγδα κεράτων,
520 ἦν δ' ἀμφίπλεκτοι κλίμακες, ἦν δὲ μετώπων
ὀλόεντα
πλήγματα καὶ στόνος ἀμφοῖν.
ἁ δ' εὐῶπις ἁβρὰ
τηλαυγεῖ παρ' ὄχθωι
525 ἦστο, τὸν ὃν προσμένουσ' ἀκοίταν.
ἐγὼ δὲ †μάτηρ μὲν οἷα† φράζω·
τὸ δ' ἀμφινείκητον ὄμμα νύμφας
ἐλεινὸν ἀμμένει ⟨τέλος⟩,
κἀπὸ ματρὸς ἄφαρ βέβαχ'
530 ὥστε πόρτις ἐρήμα.

ΔΗ. ἦμος, φίλαι, κατ' οἶκον ὁ ξένος θροεῖ
ταῖς αἰχμαλώτοις παισὶν ὡς ἐπ' ἐξόδωι,
τῆμος θυραῖος ἦλθον ὡς ὑμᾶς λάθραι,
τὰ μὲν φράσουσα χερσὶν ἀτεχνησάμην,
535 τὰ δ' οἷα πάσχω συγκατοικτιουμένη.
κόρην γάρ, οἶμαι δ' οὐκέτ', ἀλλ' ἐζευγμένην,
παρεισδέδεγμαι, φόρτον ὥστε ναυτίλος,
λωβητὸν ἐμπόλημα τῆς ἐμῆς φρενός·
καὶ νῦν δύ' οὖσαι μίμνομεν μιᾶς ὑπὸ
540 χλαίνης ὑπαγκάλισμα· τοιάδ' Ἡρακλῆς

517 *καιρὸς* Zg in lin. *χειρὸς* T in lin., fort. Zo[ac] | *ταρσῶν* Musgrave *τόξων* codd. || **520** *ἀμφίπλικτοι* Headlam: *πλίγματα* in versu sequente iam Wunder: cf. frg. 596 || **526** *θατὴρ* Zielinski: cf. 22 sq. | *τέρματ' οἷα* Hartung: *ἐγὼ παρεῖσα τὰ πολλά, τὰ τέλη λέγω τῶν πραγμάτων* Σ || **527** *ἀμφινείκητον* AUZoT, vult Y *-νίκητον* LZg *-νηκον* K || **528** *ἐλεεινὸν* codd.: corr. Porson | ⟨*τέλος*⟩ Gleditsch ⟨*λάχος*⟩ olim idem ⟨*λέχος*⟩ Gildersleeves || **529** *βέβακεν* codd.: corr. Dobree || **530** *ὥστε* AUYZoT *ὥσπερ* LKZg | *ἐρήμας* Meineke: cf. Ai. 986 || **531** *θροεῖ* L[pc]ZgZoT *θρόει* L[ac] rell. || **536** om. L[ac], add. L[s] || **539** *οὖσα* Blaydes | *ὕπο* codd.

ὁ πιστὸς ἡμῖν κἀγαθὸς καλούμενος
οἰκούρι' ἀντέπεμψε τοῦ μακροῦ χρόνου.
ἐγὼ δὲ θυμοῦσθαι μὲν οὐκ ἐπίσταμαι
νοσοῦντι κείνωι πολλὰ τῆιδε τῆι νόσωι·
545 τὸ δ' αὖ ξυνοικεῖν τῆιδ' ὁμοῦ τίς ἂν γυνὴ
δύναιτο, κοινωνοῦσα τῶν αὐτῶν γάμων;
ὁρῶ γὰρ ἥβην τὴν μὲν ἕρπουσαν πρόσω,
τὴν δὲ φθίνουσαν· ὧν δ' ἀφαρπάζειν φιλεῖ
ὀφθαλμὸς ἄνθος ⟨......................
...............⟩ τῶν δ' ὑπεκτρέπει πόδα.
550 ταῦτ' οὖν φοβοῦμαι, μὴ πόσις μὲν Ἡρακλῆς
ἐμὸς καλῆται, τῆς νεωτέρας δ' ἀνήρ.
ἀλλ' οὐ γάρ, ὥσπερ εἶπον, ὀργαίνειν καλὸν
γυναῖκα νοῦν ἔχουσαν· ἧι δ' ἔχω, φίλαι,
λυτήριον †λύπημα†, τῆιδ' ὑμῖν φράσω.
555 ἦν μοι παλαιὸν δῶρον ἀγρίου παρὰ
θηρός, λέβητι χαλκέωι κεκρυμμένον,
ὃ παῖς ἔτ' οὖσα τοῦ δασυστέρνου ποτε
Νέσσου φθίνοντος ἐκ φονῶν ἀνειλόμην,
ὃς τὸν βαθύρρουν ποταμὸν Εὔηνον βροτοὺς
560 μισθοῦ 'πόρευε χερσίν, οὔτε πομπίμοις

541 *πιστὸς* * * * * * L | *τελούμενος* T ‖ **544** *τῆιδε πολλὰ* K ‖ **547** sq. *τῆι μὲν* ... *τῆι δὲ* Musgrave *τῆς μὲν* ... *τῆς δὲ* Blaydes et Nauck ‖ **548** *ὧν δ'* Deventer *ὧν* codd. ‖ **549** lacunam post *ἄνθος* indicavit Dawe | *ὑπεκτρέπει* L *-τρέχειν* rec. *-τρέπειν* rell. ‖ **551** *καλῆται* A[pc]YZg[pc] *καλεῖται* A[ac]Zg[ac] rell., quo recepto *ἄρ' ἦν* pro *ἀνήρ* Dawe: *ἄρ' ἧι* iam Mehler ‖ **553** *ἔχει* Wratislaw ‖ **554** *λύπημα*] *πῆμα* K[ac] *κήλημα* Hermann *λώφημα* Jebb | *ὑμῖν*] *ἐγὼ* Zg *ἡμῖν* Zo ‖ **555** *ἀγρίου* Wakefield *ἀρχαίου* codd. *ἀλκαίου* Hense | *παρὰ* Kayser *ποτὲ* codd. ‖ **557** *ποτε* Kayser *πάρα* codd. *παρὰ* Brunck ‖ **558** *Νέσου* LKT | *φονῶν* Bergk *φθόνων* Zo *φόνων* rell. ‖ **560** *πόρευε* codd.

κώπαις ἐρέσσων οὔτε λαίφεσιν νεώς.
ὃς κἀμέ, τὸν †πατρῶιον† ἡνίκα στόλον
ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην,
φέρων ἐπ' ὤμοις, ἡνίκ' ἦ μέσωι πόρωι,
565 ψαύει ματαίαις χερσίν· ἐκ δ' ἤυσ' ἐγώ,
χὠ Ζηνὸς εὐθὺς παῖς ἐπιστρέψας χεροῖν
ἧκεν κομήτην ἰόν· ἐς δὲ πλεύμονας
στέρνων διερροίζησεν· ἐκθνήισκων δ' ὁ θὴρ
τοσοῦτον εἶπε· παῖ γέροντος Οἰνέως,
570 τοσόνδ' ὀνήσηι τῶν ἐμῶν, ἐὰν πίθηι,
πορθμῶν, ὁθούνεχ' ὑστάτην σ' ἔπεμψ' ἐγώ·
ἐὰν γὰρ ἀμφίθρεπτον αἷμα τῶν ἐμῶν
σφαγῶν ἐνέγκηι 'ς χρῆσιν, ἧι μελαγχόλους
ἔβαψεν ἰοὺς θρέμμα Λερναίας ὕδρας,
575 ἔσται φρενός σοι τοῦτο κηλητήριον
τῆς Ἡρακλείας, ὥστε μήτιν' εἰσιδὼν
στέρξει γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον.
τοῦτ' ἐννοήσασ', ὦ φίλαι, δόμοις γὰρ ἦν
κείνου θανόντος ἐγκεκλῃμένον καλῶς,
580 χιτῶνα τόνδ' ἔβαψα, προσβαλοῦσ' ὅσα
ζῶν κεῖνος εἶπε· καὶ πεπείρανται τάδε.
κακὰς δὲ τόλμας μήτ' ἐπισταίμην ἐγὼ
μήτ' ἐκμάθοιμι, τάς τε τολμώσας στυγῶ.
φίλτροις δ' ἐάν πως τήνδ' ὑπερβαλώμεθα,

562 *τῶν πατρώιων ἡνίκα στόλων* **AUY** || **564** *ἦ* Dindorf *ἐν* **A** *ἦν* rell. *ἦ 'ν* Cobet || **567** *ἰόν* **AUYZg**[pc] | *πλεύμονας* **LAUYT** *πνεύμονας* **L** s.l. **KZgZo** || **570** *πίθηι* edd. *πιθῆι* **L**[s.l.]**AUY** *πυθῆι* **L** *πύθη* **KZgZoT** || **571** *σ'* **ZgZoT** om. rell. || **573** *ἐνέγκηις* Blaydes | *'ς χρῆσιν* Dawe *χερσὶν* codd. || **574** *ἰοὺς* **AU ZgZo**[pc] || **577** *στέρξαι* **AUY**: *ει* s.l. **UY** || **579** *Θανόντος*] *τὸ δῶρον* Hense | *ἐγκε*]*κληιμε*[*νον* pap. Oxy. 1805 et sic coni. Dindorf *-ειμένον* **LK** *-εισμένον* rell. || **581** *πεπείραται* **ZgZoT** || **582** *τέχνας* Blaydes || **584** *πως*] *που* Eustathius 799, 4

585 [τὴν παῖδα καὶ θέλκτροισι τοῖς ἐφ' Ἡρακλεῖ]
μεμηχάνηται τοὔργον, εἴ τι μὴ δοκῶ
πράσσειν μάταιον· εἰ δὲ μή, πεπαύσομαι.
ΧΟ. ἀλλ', εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις,
δοκεῖς παρ' ἡμῖν οὐ βεβουλεῦσθαι κακῶς.
590 ΔΗ. οὕτως ἔχει γ' ἡ πίστις, ὡς τὸ μὲν δοκεῖν
ἔνεστι, πεῖραι δ' οὐ προσωμίλησά πω.
ΧΟ. ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς, οὐδ' εἰ δοκεῖς
ἔχειν, ἔχοις ἂν γνῶμα, μὴ πειρωμένη.
ΔΗ. ἀλλ' αὐτίκ' εἰσόμεσθα· τόνδε γὰρ βλέπω
595 θυραῖον ἤδη· διὰ τάχους δ' ἐλεύσεται.
μόνον παρ' ὑμῶν εὖ στεγοίμεθ'· ὡς σκότωι
κἂν αἰσχρὰ πράσσηις, οὔποτ' αἰσχύνηι πεσῆι.
ΛΙ. τί χρὴ ποεῖν; σήμαινε, τέκνον Οἰνέως,
ὡς ἐσμὲν ἤδη τῶι μακρῶι χρόνωι βραδεῖς.
600 ΔΗ. ἀλλ' αὐτὰ δή σοι ταῦτα καὶ πράσσω, Λίχα·
ἕως σὺ ταῖς ἔσωθεν ἠγορῶ ξέναις
⟨. . . . .⟩
ὅπως φέρηις μοι τόνδε ταναϋφῆ πέπλον
δώρημ' ἐκείνωι τἀνδρὶ τῆς ἐμῆς χερός.
διδοὺς δὲ τόνδε φράζ' ὅπως μηδεὶς βροτῶν
605 κείνου πάροιθεν ἀμφιδύσεται χροΐ,
μηδ' ὄψεταί νιν μήτε φέγγος ἡλίου

585 om. Eustath., del. Wunder || **587** *πεπαύσεται* **A** in lin., **U**[γρ]**Y** || **591** *πω*] *που* **ZgT** *τωι* Suda 3, 456, 20 (ubi *πω* **M** s. l.) || **592** *οὐδ' εἰ*] *οὐ* **L** in lin. *εἰ μὴ* rec. || **593** *ἄγνωμα* **L**[sγρ] || **596** *ὑμῖν* **Zg**, **T** s. l. | *στεγώμεθ'* Blaydes || **597** *'μπεσεῖ* Blaydes || **598** *ποεῖν* **LK** *ποιεῖν* rell. || **601** post hunc versum lacunam statuit Dawe || **602** *φέρεις* **AUY** | *ταναϋφῆ* Wunder *γ' εὐϋφῆ* fere codd.: *α* supra *ευ* **L**[s], et *γρ. δὲ ἀϋφῆ, ἀντὶ τοῦ λεπτοϋφῆ* **ΣL** *εὐαφῆ* Eustathius 600,1; cf. Favorin. s. v. *χιτών: διὰ τὸ λεπτόν· καὶ οὕτως εὐαφής* || **605** *ἀμφιδύσηται* **T**

μήθ' ἕρκος ἱερὸν μήτ' ἐφέστιον σέλας,
πρὶν κεῖνος αὐτὸν φανερὸς ἐμφανῆ σταθεὶς
δείξηι θεοῖσιν ἡμέραι ταυροσφάγωι.
610 οὕτω γὰρ ηὔγμην, εἴ ποτ' αὐτὸν ἐς δόμους
ἴδοιμι σωθέντ' ἢ κλύοιμι πανδίκως,
στελεῖν χιτῶνι τῶιδε καὶ φανεῖν θεοῖς
θυτῆρα καινῶι καινὸν ἐν πεπλώματι.
καὶ τῶνδ' ἀποίσεις σῆμ', ὃ κεῖνος εὐμαθὲς
615 σφραγῖδος ἕρκει τῶιδ' ἐπὸν μαθήσεται.
ἀλλ' ἕρπε καὶ φύλασσε πρῶτα μὲν νόμον,
τὸ μὴ 'πιθυμεῖν πομπὸς ὢν περισσὰ δρᾶν·
ἔπειθ' ὅπως ἂν ἡ χάρις κείνου τέ σοι
κἀμοῦ ξυνελθοῦσ' ἐξ ἁπλῆς διπλῆ φανῆι.
620 *ΛΙ.* ἀλλ' εἴπερ Ἑρμοῦ τήνδε πομπεύω τέχνην
βέβαιον, οὔ τι μὴ σφαλῶ γ' ἐν σοί ποτε,
τὸ μὴ οὐ τόδ' ἄγγος ὡς ἔχει δεῖξαι φέρων
λόγων τε πίστιν †ὧν ἔχεις† ἐφαρμόσαι.
ΔΗ. στείχοις ἂν ἤδη· καὶ γὰρ ἐξεπίστασαι
625 τά γ' ἐν δόμοισιν ὡς ἔχοντα τυγχάνει.
ΛΙ. ἐπίσταμαί τε καὶ φράσω σεσωμένα.
ΔΗ. ἀλλ' οἶσθα μὲν δὴ καὶ τὰ τῆς ξένης, ὁρῶν

608 *αὐτὸν* T | *φανερὸς ἐμφανῆ* Brunck *φανερῶς ἐμφανῶς* L[ac] *-ῶς -ῶς* U *φανερὸν ἐμφανὴς* T ⟨*φανερὸν ἐμφαν*⟩*ῶς* T s. l. et Wakefield *ἐμφανὴς φανερῶς* Zg *φανερὸς ἐμφανῶς* L[pc] rell. | *σταλεὶς* Mehler ‖ **610** *οὕτως* KZg ‖ **611** sunt qui ante *πανδίκως* interpungere malint ‖ **613** *ἐμ* LK ‖ **614** *εὐμαψὲς* L *εὐμαρῶς* Tournier ‖ **615** *ἐπ' ὄμμα θήσεται* codd.: corr. Billerbeck ‖ **621** *τι* AUY *τοι* rell. ‖ **622** *μὴ οὐ* LAUY *μὴ* rell. ‖ **623** *ἔχει σ'* K *θέλεις* Wakefield *λέγεις* Wunder *ἐφεῖσ'* Otto ‖ **624** *στείχοις γ'* Zg ‖ **624–632** post 615 trai. Nauck: 628 eiecit idem ‖ **626** *σεσωσμένα* codd. ‖ **627** post *τὰ τῆς ξένης* distinxit Wunder: cf. *τά γ' ἐν δόμοισιν* (625)

προσδέγματ' αὐτός, ὥς σφ' ἐδεξάμην φίλως.
ΛΙ. ὥστ' ἐκπλαγῆναι τοὐμὸν ἡδονῆι κέαρ.
630 ΔΗ. τί δῆτ' ἂν ἄλλο γ' ἐννέποις; δέδοικα γὰρ
μὴ πρῶι λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ,
πρὶν εἰδέναι κἀκεῖθεν εἰ ποθούμεθα.

ΧΟ. ὦ ναύλοχα καὶ πετραῖα *στρ. α*
θερμὰ λουτρὰ καὶ πάγους
635 Οἴτας παραναιετάοντες, οἵ τε μέσσαν
Μηλίδα πὰρ λίμναν,
χρυσαλακάτου τ' ἀκτὰν Κόρας
ἔνθ' Ἑλλάνων ἀγοραὶ
Πυλάτιδες κλέονται,

640 ὁ καλλιβόας τάχ' ὑμῖν *ἀντ. α*
αὐλὸς οὐκ ἀναρσίαν
ἀχῶν καναχὰν ἐπάνεισιν, ἀλλὰ θείας
ἀντίλυρον μούσας.
ὁ γὰρ Διός, Ἀλκμήνας κόρος,
645 σοῦται πάσας ἀρετᾶς
λάφυρ' ἔχων ἐπ' οἴκους,

628 *αὐτός* Bergk *αὐτήν* (*-ὴν* AUY) codd. | *ὥς σφ'* Dawe *ὡς* AUY *θ' ὡς* rell. || **631** *πρῶι* L[ac]AUY *πρῶτον* **K** *πρὶν* L[pc] rell. || **632** *τἀκεῖθεν* seu *τὰ κεῖθεν* codd.: corr. Schneidewin: *ἕως μάθωμεν εἰ καὶ αὐτὸς ἡμᾶς ποθεῖ* ΣL || **635** *πέρι ναιετάοντες* Zg *περιν-* T in lin. *παρν-* **K** | *μέσσαν* LT *μέσαν* rell., nisi quod *οἵ τε μέσσαν* om. **K** || **636** *πὰρ* **T** *παρὰ* rell. || **637** *χρυσαλακάτοι' ἀκτὰν* Blaydes || **639** om. **K** | *κλέονται* Musgrave *καλέονται* codd. *καλεῦνται* Hermann || **640** *ἡμῖν* **Zo** *ὑμὶν* **T**, probat Itsumi || **642** *ἀχῶν* Elmsley *ἰάχων* codd. || **644** *Ἀλκμήνας* **T** *Ἀλκμήνας τε* rell. *ἄλκιμος* Subkoff *ἀλκαῖος* Wecklein | *κοῦρος* AUY || **645** *σεῦται* codd.: corr. Elmsley

ὃν ἀπόπτολιν εἴχομεν βάντα — στρ. β
δυοκαιδεκάμηνον ἀμμένουσαι
χρόνον πελάγιον, ἴδριες οὐ-
650 δέν· ἁ δέ οἱ φίλα δάμαρ
τάλαιναν δυστάλαινα καρδίαν
πάγκλαυτος αἰὲν ὤλλυτο·
νῦν δ' Ἄρης οἰστρηθεὶς
ἐξέλυσ' ἐπιπόνων ἀμερᾶν.

655 ἀφίκοιτ' ἀφίκοιτο· μὴ σταίη — ἀντ. β
πολύκωπον ὄχημα ναὸς αὐτῶι,
πρὶν τάνδε πρὸς πόλιν ἀνύσει-
ε νασιῶτιν ἑστίαν
ἀμείψας, ἔνθα κλῄζεται θυτήρ·
660 ὅθεν μόλοι πανίμερος
† τᾶς Πειθοῦς παγχρίστωι
συγκραθεὶς ἐπὶ προφάσει θηρός.†

ΔΗ. γυναῖκες, ὡς δέδοικα μὴ περαιτέρω
πεπραγμέν' ἦι μοι πάνθ' ὅσ' ἀρτίως ἔδρων.
665 ΧΟ. τί δ' ἔστι, Δῃάνειρα, τέκνον Οἰνέως;
ΔΗ. οὐκ οἶδ'· ἀθυμῶ δ' εἰ φανήσομαι τάχα
κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς.

647 *βάντα* Dawe: cf. 165, 247 *πάντα* codd. || **648** *δυωδεκάμηνον* K *δυοδεκ-* ZgZo || **650** *ἁ δέ οἱ* AUYT *ἃ δέοι* L *α δέ οι* Zo *ἡ δέ οἱ* Zg *ἁ δέ σοι* K || **651** *τάλαιναν* Dindorf *τάλαινα* codd. || **653** *οἰστρωθεὶς* Zo, T s. l. *αὖ στρωθεὶς* Musgrave *οἱ στρωθεὶς* Hermann | *ἐξέλυσέ μ'* Erfurdt || **654** *ἐπίπονον ἀμέραν* codd.: corr. Erfurdt || **657** *ἀνύσεις* L in lin., K *ἀνύσειεν* T || **659** *κλῄζεται* KAUY *κληΐζεται* rell., dein ras. ca. quattuor litt. in L || **660** *πανάμερος* codd.: corr. Mudge || **661** *πιθοῦς παγχρίστως* Zo || **662** *συντακεὶς* Paley *συμπλακεὶς* Lindner | *παρφάσει* Paley | *θηρός*] *φάρους* Haupt: cf. 916

ΧΟ. οὐ δή τι τῶν σῶν Ἡρακλεῖ δωρημάτων;
ΔΗ. μάλιστά γ', ὥστε μήποτ' ἂν προθυμίαν
670 ἄδηλον ἔργου τωι παραινέσαι λαβεῖν.
ΧΟ. δίδαξον, εἰ διδακτόν, ἐξ ὅτου φοβῆι.
ΔΗ. τοιοῦτον ἐκβέβηκεν οἷον, ἢν φράσω,
γυναῖκες, ὑμῖν θαῦμ' ἀνέλπιστον μαθεῖν.
ὧι γὰρ τὸν ἐνδυτῆρα πέπλον ἀρτίως
675 ἔχριον, ἀργῆς οἰὸς εὐείρωι πόκωι,
τοῦτ' ἠφάνισται, διάβορον πρὸς οὐδενὸς
τῶν ἐκτός, ἀλλ' ἐδεστὸν ἐξ αὑτοῦ φθίνει,
†καὶ ψῆι κατ' ἄκρας σπιλάδος†· ὡς
δ' εἰδῆις ἅπαν,
ἧι τοῦτ' ἐπράχθη, μείζον' ἐκτενῶ λόγον.
680 ἐγὼ γὰρ ὧν ὁ θήρ με Κένταυρος πονῶν
πλευρὰν πικρᾶι γλωχῖνι προυδιδάξατο
παρῆκα θεσμῶν οὐδέν', ἀλλ' ἐσωιζόμην,
χαλκῆς ὅπως δύσνιπτον ἐκ δέλτου γραφήν·
[καί μοι τάδ' ἦν πρόρρητα, καὶ τοιαῦτ' ἔδρων]
685 τὸ φάρμακον τοῦτ' ἄπυρον ἀκτῖνός τ' ἀεὶ
θερμῆς ἄθικτον ἐν μυχοῖς σώιζειν ἐμέ,
ἕως νιν ἀρτίχριστον ἁρμόσαιμί που.

668 *οὐ δῆτα* Zo || **670** *ἔργων* Zg | *τοῦ* Blaydes || **672** *ἢν* rec. *ἂν* codd. nostri || **673** *μαθεῖν* AUY, et s. l. LZo *λαβεῖν* L in lin. *παθεῖν* KZgT, et Zo in lin. || **675** *ἀργῆς* Bergk *ἀργῆτ'* codd. | *εὐείρου* Valckenaer *εὐέρου* Lobeck | *πόκου* T s. l. || **676** *τότ'* Zo | *ἠφάνιστο* ZgZoT || **677** *ἐκτός* Herwerden *ἔνδον* codd. | *αὑτοῦ* AUY *αυτοῦ* L *αὐτοῦ* rell. || **678** neque *ψῆι* neque *κατ' ἄκρας* neque *σπιλάδος* facile intelligitur: leges quidem grammaticas adiuvat *σπιλάδας* (Meineke), sed 'vesco sale saxa peresa' vel sim. nihil ad rem || **682** *οὐδέν'* Wakefield *οὐδὲν* codd. || **684** del. Wunder || **685** *τ'* om. LK || **686** *θερμῆς* ZgT *θερμοῖς* Zo *θέρμης* rell. || **687** *νιν* Elmsley *ἂν* codd.

κἄδρων τοιαῦτα· νῦν δ', ὅτ' ἦν ἐργαστέον,
ἔχρισα μὲν κατ' οἶκον †ἐν δόμοις† κρυφῆι
690 *μαλλῶι, σπάσασα κτησίου βοτοῦ λάχνην,*
κἄθηκα συμπτύξασ' ἀλαμπὲς ἡλίου
κοίλωι ζυγάστρωι δῶρον, ὥσπερ εἴδετε.
εἴσω δ' ἀποστείχουσα δέρκομαι φάτιν
ἄφραστον, ἀξύμβλητον ἀνθρώπωι μαθεῖν.
695 *τὸ γὰρ κάταγμα τυγχάνω ῥίψασά πως*
[τῆς οἰὸς ὧι προύχριον ἐς μέσην φλόγα]
ἀκτῖν' ἐς ἡλιῶτιν· ὡς δ' ἐθάλπετο,
ῥεῖ πᾶν ἄδηλον, καὶ κατέψηκται χθονὶ
μορφῆι μάλιστ' εἰκαστὸν ὥστ' εἰ πρίονος
700 *ἐκβρώματα βλέψειας ἐν τομῆι ξύλου.*
τοιόνδε κεῖται προπετές· ἐκ δὲ γῆς ὅθεν
προύκειτ' ἀναζέουσι θρομβώδεις ἀφροί,
γλαυκῆς ὀπώρας ὥστε πίονος ποτοῦ
χυθέντος εἰς γῆν βακχίας ἀπ' ἀμπέλου·
705 *ὥστ' οὐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω,*
ὁρῶ δέ μ' ἔργον δεινὸν ἐξειργασμένην.
πόθεν γὰρ ἄν ποτ' ἀντὶ τοῦ θνήισκειν ὁ θὴρ
ἐμοὶ παρέσχ' εὔνοιαν, ἧς ἔθνῃσχ' ὕπερ;
οὐκ ἔστιν, ἀλλὰ τὸν βαλόντ' ἀποφθίσαι

689 *μὲν*] *νιν* Blaydes | *ἐν δόμοις*] *ἔνδυτον* Dindorf ‖ **692** *ὧιπερ* Herwerden ‖ **693** *φάσμα δέρκομαι* Nauck (*φάσμα* L[gl]) ‖ **696** del. Dobree | *προὔχρειον* **L** *προὔχριστον* **K** | *φλόγα*] *πλάκα* Wolff ‖ **699** *μορφὴν* Blaydes | *ὥστ' εἰ* Dawe, praeeunte Meineke (*ὡς εἰ*) *ὥστε* codd. ‖ **700** *ἐκβρώματα βλέψειας* Dawe *ἐκβρώματ'* codd., dein *ἐμβλέψειας* **ZgZo** (cf. app. crit. ad El. 995) *ἐκβλέψειας* **LKT** *ἂν βλέψειας* **AUY** (*-αθ'*) *ἂν βλέψειας* Tyrrell ‖ **701** *τοῖον δὲ* **K** ‖ **704** *βακχίας* **T**, et s. l. **AY** *βακχείας* rell. ‖ **705** om. L[ac], add. L[s] ‖ **707** *θνήσκων* codd.: corr. Wakefield ‖ **708** *ἧς γ'* Blaydes

710 χρήιζων ἔθελγέ μ'· ὧν ἐγὼ μεθύστερον,
ὅτ' οὐκέτ' ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι.
μόνη γὰρ αὐτόν, εἴ τι μὴ ψευσθήσομαι
γνώμης, ἐγὼ δύστηνος ἐξαποφθερῶ·
τὸν γὰρ βαλόντ' ἄτρακτον οἶδα καὶ θεὸν
715 Χείρωνα πημήναντα· χὤνπερ ἂν θίγηι
φθείρει τὰ πάντα κνώδαλ'· ἐκ δὲ τοῦδ' ὅδε
σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας
πῶς οὐκ ὀλεῖ καὶ τόνδε; δόξηι γοῦν ἐμῆι.
καίτοι δέδοκται, κεῖνος εἰ σφαλήσεται,
720 ταὐτῆι σὺν ὁρμῆι κἀμὲ συνθανεῖν ἅμα.
ζῆν γὰρ κακῶς κλύουσαν οὐκ ἀνασχετόν,
ἥτις προτιμᾶι μὴ κακὴ πεφυκέναι.
ΧΟ. ταρβεῖν μὲν ἔργα δείν' ἀναγκαίως ἔχει,
τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος.
725 ΔΗ. οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
οὐδ' ἐλπὶς ἥτις καὶ θράσος τι προξενεῖ.
ΧΟ. ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι μὴ 'ξ ἑκουσίας
ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει.
ΔΗ. τοιαῦτα τἂν λέξειεν οὐχ ὁ τοῦ κακοῦ
730 κοινωνός, ἀλλ' ὧι μηδέν ἐστ' οἴκοι βαρύ.

710 *ἔθελγέ μ'*] *ἔθελγεν* **AUY** ‖ **711** *ἀρκῶ* **Zg** ‖ **714** *βαφέντ'* M. Schmidt ‖ **715** fort. *Χίρωνα* | *χὤνπερ* Wakefield *χὤσπερ* **LK AUY** *χὤσαπερ* **ZgZoT**: *ὅσα ἂν θίγηι* **ΣL** ‖ **716** *φθείροντα πάντα* Faehse *φθείρει γ' ἅπαντα* Dawe | *κνωδάλου δὲ τοῦδ'* Hense | *ἀλλ' ἐκ τοῦδ' ὅδε* **Zg** *ἐκ δὲ τοῦδε δὴ* Meineke ‖ **717** *ἰός* **UZg** | *αἱματοῦς* Wunder ‖ **718** *δόξηι ... ἐμῆι* **LKT** *δόξει ... ἐμῆι* **Zo** *δόξει ... ἐμοί* **AUYZg** ‖ **720** *ταύτηι* codd.: corr. Étienne | *ὀργῆι* **L** s. l., **AUY**, et lemma **ΣL** *ἑρμῆ* **Zo** ‖ **723** *ἔργ' ἄδηλ'* Tournier ‖ **729** *τἂν* Blaydes *δ' ἂν* codd. ‖ **730** *ἐστ'* **UYZg** *ἔστ'* **A** *ἐστιν* rell. | *οἴκοι* Wakefield *οἴκοις* codd.

ΧΟ. *σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω λόγον,*
εἰ μή τι λέξεις παιδὶ τῶι σαυτῆς· ἐπεὶ
πάρεστι μαστὴρ πατρὸς ὃς πρὶν ᾤχετο.
ΥΛ. *ὦ μῆτερ, ὡς ἂν ἐκ τριῶν σ' ἓν εἱλόμην,*
735 *ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ σεσωμένην*
ἄλλου κεκλῆσθαι μητέρ', ἢ λώιους φρένας
τῶν νῦν παρουσῶν τῶνδ' ἀμείψασθαί ποθεν.
ΔΗ. *τί δ' ἐστίν, ὦ παῖ, πρός γ' ἐμοῦ στυγούμενον;*
ΥΛ. *τὸν ἄνδρα τὸν σὸν ἴσθι, τὸν δ' ἐμὸν λέγω*
740 *πατέρα, κατακτείνασα τῆιδ' ἐν ἡμέραι.*
ΔΗ. *οἴμοι, τίν' ἐξήνεγκας, ὦ τέκνον, λόγον;*
ΥΛ. *ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι· τὸ γὰρ*
φανθὲν τίς ἂν δύναιτ' ἂν ἀγένητον ποεῖν;
ΔΗ. *πῶς εἶπας, ὦ παῖ; τοῦ πάρ' ἀνθρώπων μαθὼν*
745 *ἄζηλον οὕτως ἔργον εἰργάσθαι με φῄς;*
ΥΛ. *αὐτὸς βαρεῖαν ξυμφορὰν ἐν ὄμμασιν*
πατρὸς δεδορκὼς κοὐ κατὰ γλῶσσαν κλύων.
ΔΗ. *ποῦ δ' ἐμπελάζεις τἀνδρὶ καὶ παρίστασαι;*
ΥΛ. *εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών·*
750 *ὅθ' εἷρπε κλεινὴν Εὐρύτου πέρσας πόλιν,*
νίκης ἄγων τροπαῖα κἀκροθίνια,
ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κήναιόν ἐστιν, ἔνθα πατρώιωι Διὶ
βωμοὺς ὁρίζει τεμενίαν τε φυλλάδα·

731 *λόγον* L$^{s\gamma\rho}$ *χρόνον* rell. ‖ **735** *σεσωσμένην* codd. ‖ **736** *μητέρα σ'* **LKZoT** ‖ **738** *στυγούμενον* fortasse corruptum: *λυπηρὸν καὶ μίσους ἄξιον* **ΣL** ‖ **739** *γ'* Wakefield ‖ **743** *δύναιτ' ἂν* anon. *δύναιτ'* codd. | *ἀγένητον* **L** et Suda 4, 621, 7 *ἀγέννητον* rell., et Suda FV | *ποεῖν* **LK** *ποιεῖν* rell. ‖ **744** *ἀνθρώπου* pap. Oxy. 1805 i. m. | *μαθὼν*] *παρὼν* pap. Oxy. 1805 ante corr. ‖ **747** *κοὐ* **L** i. m., **Zg** *καὶ* rell. ‖ **748** *ἐμπελάζῃς* **L**^{ac}**K** *ἐμπελάζηι* Bergk ‖ **751** *τρόπαια* codd.: corr. Dindorf ‖ **753** *Κηναῖον* **LZo**

755 οὗ νιν τὰ πρῶτ' ἐσεῖδον, ἄσμενος πόθωι.
μέλλοντι δ' αὐτῶι πολυθύτους τεύχειν σφαγὰς
κῆρυξ ἀπ' οἴκων ἵκετ', †οἰκεῖος† Λίχας,
τὸ σὸν φέρων δώρημα, θανάσιμον πέπλον,
ὃν κεῖνος ἐνδύς, ὡς σὺ προυξεφίεσο,
760 ταυροκτονεῖ μὲν δώδεκ' ἐντελεῖς ἔχων
λείας ἀπαρχὴν βοῦς· ἀτὰρ τὰ πάνθ' ὁμοῦ
ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
καὶ πρῶτα μὲν δείλαιος ἵλεωι φρενὶ
κόσμωι τε χαίρων καὶ στολῆι κατηύχετο·
765 ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο
φλὸξ αἱματηρὰ κἀπὸ πιείρας δρυός,
ἱδρὼς ἀνήιει χρωτί, καὶ προσπτύσσετο
[πλευραῖσιν ἀρτίκολλος, ὥστε τέκτονος,]
χιτὼν ἅπαν κατ' ἄρθρον· ἦλθε δ' ὀστέων
770 ὀδαγμὸς ἀντίσπαστος· εἶτα φοίνιος
ἐχθρᾶς ἐχίδνης ἰός, ὡς ἐδαίνυτο
⟨.............................⟩
ἐνταῦθα δὴ 'βόησε τὸν δυσδαίμονα
Λίχαν, τὸν οὐδὲν αἴτιον τοῦ σοῦ κακοῦ,
ποίαις ἐνέγκοι τόνδε μηχαναῖς πέπλον·
775 ὁ δ' οὐδὲν εἰδὼς δύσμορος τὸ σὸν μόνης

757 *κῆρυξ* L *κήρυξ* rell. | *οἰκοῖος* L^ac *ὠκύπους* Hense || **760** *ἄγων* Blaydes || **764** *α* supra *α* in *χαίρων* exhibet pap. Oxy. 1805 | *κατήρχετο* Meineke || **767** *ἀνήει*, cum *ι* supra *η*, **AUY** *ἂν ἥει* **L** *ἀνίει*, cum *η* s. l., **T** *ἀνίει* **KZg** *ἀνείη* **Zo** | *προσπτύσαιτο* **Zo** *προσπτύσσεται* Musgrave || **768** eiecit Dawe | lacunam post hunc versum statuit Bergk: cf. frg. 474, 4 || **770** *ὀδαγμὸς* **KZoT** *ἀδαγμὸς* Brunck ex Photio 7, 21: cf. Bekker Anec. 342, 22 | *φοινίας* codd.: corr. Pierson || **771** *ἰὸς* **Zg** | *ὧς* **K**, coni. Wakefield *ὅς σφ'* Dawe | lacunam indicavit Dawe || **772** *'βόησε* rec. *βόησε* codd. nostri || **774** *ἐνέγκοι* **LKT** *-αι* **AUY** *-αις* **Zg** *-οις* **Zo**

δώρημ' ἔλεξεν, ὥσπερ ἦν ἐσταλμένον.
κἀκεῖνος ὡς ἤκουσε καὶ διώδυνος
σπαραγμὸς αὐτοῦ πλευμόνων ἀνθήψατο,
μάρψας ποδός νιν, ἄρθρον ἧι λυγίζεται,
780 ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν,
κόνει δὲ λευκὸν μυελὸν ἐκραίνει, μέσου
κρατὸς διασπαρέντος αἵματός θ' ὁμοῦ.
ἅπας δ' ἀνηυφήμησεν οἰμωγῆι λεώς,
τοῦ μὲν νοσοῦντος, τοῦ δὲ διαπεπραγμένου·
785 κοὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν.
ἐσπᾶτο γὰρ πεδόνδε καὶ μετάρσιος
βοῶν, ἰύζων· ἀμφὶ δ' ἐκτύπουν πέτραι,
Λοκρῶν τ' ὄρειοι πρῶνες Εὐβοίας τ' ἄκραι.
ἐπεὶ δ' ἀπεῖπε, πολλὰ μὲν τάλας χθονὶ
790 ῥιπτῶν ἑαυτόν, πολλὰ δ' οἰμωγῆι βοῶν,
τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος
[σοῦ τῆς ταλαίνης, καὶ τὸν Οἰνέως γάμον]
οἷον κατακτήσαιτο λυμαντὴν βίου,
τότ' ἐκ προσέδρου λιγνύος διάστροφον
795 ὀφθαλμὸν ἄρας εἶδέ μ' ἐν πολλῶι στρατῶι

778 *αὐτῶν* Wille | *πλευμόνων* **KAUY** *πν-* rell. || **780** *ῥίπτει* Elmsley || **781** *κόνει* Dawe *κομη* pap. Oxy. 1805 *κόμης* codd. *κόρσης* Bothe | *μέσου* **ZgZo** || **783** *δ'* om. **K**, et pap. ante corr. | *ἀνηυφήμησεν* Dindorf *ἀνευφήμησεν* pap., Σ Eur. Tro. 573 *ἀνευφημήσει* Hesychius (Latte 1, 173) *ἀνευφώνησεν* **KA** *ἄνευ φωνῆς ἐν* **LT** *ἀνεφώνησεν* **ZgZoUY** || **787** *βοῶν*] *δάκνων* Diog. Laert. 10, 137 | *ἐκτύπουν*] *ἔστενον* idem || **788** *τ'*[1] habet Diog. om. codd. et pap. | *ἄκρα* Diog. cod. F || **790** *ριπτῶν* pap. *ῥίπτων* codd.: cf. 780 || **791** *λέχος* **Zo** | *ἐμματούμενος γρ.* **ΣL** || **792** del. Nauck || **793** *οιαν* pap. s. l. || **795** *εἶδέ μ'*] *εἶδεν* Suda 4, 222, 10 codd. AF *εἶδ'* eiusdem codd. GVM

δακρυρροοῦντα, καί με προσβλέψας καλεῖ·
ὦ παῖ, πρόσελθε, μὴ φύγῃς τοὐμὸν κακόν,
μηδ' εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί·
ἀλλ' ἆρον ἔξω, καὶ μάλιστα μέν με θὲς
800 ἐνταῦθ' ὅπου με μή τις ὄψεται βροτῶν·
εἰ δ' οἶκτον ἴσχεις, ἀλλά μ' ἔκ γε τῆσδε γῆς
πόρθμευσον ὡς τάχιστα, μηδ' αὐτοῦ θάνω.
τοσαῦτ' ἐπισκήψαντος, ἐν μέσωι σκάφει
θέντες σφε πρὸς γῆν τήνδ' ἐκέλσαμεν μόλις
805 βρυχώμενον σπασμοῖσι· καί νιν αὐτίκα
ἢ ζῶντ' ἐσόψεσθ' ἢ τεθνηκότ' ἀρτίως.
τοιαῦτα, μῆτερ, πατρὶ βουλεύσασ' ἐμῶι
καὶ δρῶσ' ἐλήφθης, ὧν σε ποίνιμος Δίκη
τείσαιτ'· Ἐρινῦς τ', εἰ θέμις γ', ἐπεύχομαι·
810 θέμις δ', ἐπεί μοι τὴν θέμιν σὺ προὔβαλες,
πάντων ἄριστον ἄνδρα τῶν ἐπὶ χθονὶ
κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ.
ΧΟ. τί σῖγ' ἀφέρπεις; οὐ κάτοισθ' ὁθούνεκα
ξυνηγορεῖς σιγῶσα τῶι κατηγόρωι;
815 ΥΛ. ἐᾶτ' ἀφέρπειν· οὖρος ὀφθαλμῶν ἐμῶν
αὐτῆι γένοιτ' ἄπωθεν ἑρπούσηι καλός·
ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν
μητρῶιον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾶι;
ἀλλ' ἑρπέτω χαίρουσα· τὴν δὲ τέρψιν ἣν
820 τὠμῶι δίδωσι πατρί, τήνδ' αὐτὴ λάβοι.

796 *κάλει* codd.: corr. Étienne ‖ **797** *'κφύγῃς* **Zg** ‖ **798** *θανόντα* **Zg** ‖ **799** *αἶρον* **L** | *με θὲς* Wakefield *μέθες* codd. ‖ **801** sq. suspicatur Bergk tanquam editionis alterius ‖ **801** *ὄκνον* Wakefield | *οἶκτος ἴσχει σ'* repudiat Jebb ‖ **809** *Ἐρινῦς* Dawe *Ἐρινύς* **L** *Ἐρινύες* **K** *Ἐριννύς* rell. | *γ'* Brunck om. **ZgZo** *δ'* rell. ‖ **810** *τοι* Axt | *προὔλαβες* **LKT** ‖ **816** *καλός* **T**: *εἴθε οὖρος καλὸς κ. τ. ἑ.* **ΣL** *καλῶς* rell.

ΧΟ. ἴδ' οἷον, ὦ παῖδες, προσέμειξεν ἄφαρ — στρ. α
τοὖπος τὸ θεοπρόπον ἡμῖν
τᾶς παλαιφάτου προνοίας,
ὅ τ' ἔλακεν, ὁπότε τελεόμηνος ἐκφέροι
825 δωδέκατος ἄροτος, ἀναδοχὰν τελεῖν πόνων
τῶι Διὸς αὐτόπαιδι·
καὶ τάδ' ὀρθῶς
ἔμπεδα κατουρίζει.
πῶς γὰρ ἂν ὁ μὴ λεύσσων
ἔτι ποτ' ἔτ' ἐπίπονον
830 ἔχοι θανὼν λατρείαν;

εἰ γάρ σφε Κενταύρου φονίαι νεφέλαι — ἀντ. α
χρίει δολοποιὸς ἀνάγκα
πλευρά, προστακέντος ἰοῦ
ὃν τέκετο θάνατος, ἔτρεφε δ' αἰόλος δράκων,
835 πῶς ὅδ' ἂν ἕτερον ἀέλιον ἢ τανῦν ἴδοι,
δεινοτάτωι μὲν ἄρθρα
προστετακὼς
νήματι; μελαγχαίτα τ'

823 *παλαιφοίβου* Σ[γρ] || **824** *ὅττ'* **T** || **825** *ἄροτρος* **LK** *τ' ἄροτος* **T** | *ἀνακωχὰν* **Zg** *ἀναπνοὰν* Meineke *ἄμ' ἀνοχὰν* Schneidewin || **829** *ἔτει ποτ' ἔτ'* **T** | *ποτε* plene scribunt **AUYZgZo** || **831** *φονίαι* **A**[ac]**T** *φοινίαν* (et *νεφέλαν*) **Zo** *φοινίαι* **A**[pc] rell. || **833** *πλευρά* **T** *πλευρᾶι* rell. | *ιοῦ* utroque spiritu **Zg** || **834** *ἔτρεφε* Lobeck *ἔτεκε* codd. || **835** *ἂν ἀέλιον* (*ἂν ἅλιον* **LK** *ἀνάλιον* **Zg**) *ἕτερον* codd.: corr. Seidler *ἂν ἔτι φάος ἕτερον* Hermann, quo recepto *τὸ νῦν* Blaydes || **836** sq. *ἄρθρα* Hermann *ὕδρας* codd. | *νήματι* Pearson (*νάματι* alio sensu iam Wunder) *φάσματι* codd.: *νῆμα* per *ὕφασμα* explicat Hesychius | *μελαγχαίτα* **LKAYT** *-ας* **ZgZo** *-ου* **U**[ac] et s. l. **AUYT** | *τ'*] | *θ'* (et *ἄμμιγα*) **Zo** *δ'* Wakefield

ἄμμιγά νιν αἰκίζει [Νέσσου θ' ὕπο]
φόνια δολιόμυ-
840 θα κέντρ' ἐπιζέσαντα.

ὧν ἅδ' ἁ τλάμων ἄοκνος, στρ. β
μεγάλαν προσορῶσα δόμοις ἄταν
νέων ἀίσσουσαν γάμων, τὰ μὲν αὐτὰ
προσέβαλεν, τὰ δ' ἀπ' ἀλλόθρου
845 γνώμας μολόντ' ὀλεθρίαισι συναλλαγαῖς
ἦ που ὀλοὰ στένει,
ἦ που ἀδινῶν χλωρὰν
τέγγει δακρύων ἄχναν.
ἁ δ' ἐρχομένα μοῖρα προφαίνει δολίαν
850 καὶ μεγάλαν ἄταν.

ἔρρωγεν παγὰ δακρύων· ἀντ. β
κέχυται νόσος, ὦ πόποι, οἷον ⟨–⟩
† ἀναρσίων οὔπω† ἀγάκλειτον [Ἡρακλέους]

838 *Νέσσου* (seu *Νέσου*) *θ' ὕπο* codd.: seclusit Dindorf, et e modo exarandi facile crederes haec omisisse L[ac], add. L[1pc]: sed *μελαγχαίτα* nomen desiderat ‖ **839** *φόνια* Heath om. **T** *φοίνια* rell. | *δολιόμυθα* Hermann *δουλό-* **Zo** *δολό-* rell. ‖ **841** *ἄοκνον* codd.: corr. Musgrave ‖ **842** *προορῶσα* Blaydes | *δόμοισι* **T**, silet **ΣT** | *ἄταν* Dawe ,ῐ ante *βλ-* reformidans *βλάβαν* codd. ‖ **843** *ἀϊσσόντων* codd.: corr. Nauck | *αὐτὰ* Nauck *οὔτι* codd. ‖ **844** *προσέβαλεν* **L**[pc] *προσέβαλλεν* **L**[ac]**K** *προέβαλε* **Zg**[ac] *προσέβαλε* **Zg**[pc] rell. | *ἀπ'* **L** s. l., **AUYZo** *ἐπ'* **L** in lin., **KZgT** | *ἀλλοθρόον* codd.: corr. Erfurdt ‖ **845** *ὀλεθρίαισι* **T**, silet **ΣT** *-ίαις* rell. *οὐλίαισι* metri gr. Wunder: cf. ad Ai. 403 | *συναλλαγαῖς* **T** *ξὺν ἀλλαλαγαῖς* **Zo** *ξυναλλαγαῖς* rell. ‖ **846** *ὀλό' αἰάζει*, ne molossus cretico responderet, Blaydes ‖ **852** *πόνοι* **Zo** ‖ **853** sq. locus nondum expeditus: cf. 842 sq. ‖ **853** *οὐπώ⟨ποτ' ἄνδρ'⟩* G. H. Müller | *Ἡρακλέους* del. Dindorf *Ἡρακλέ'* **T**

855 *ἐπέμολεν πάθος οἰκτίσαι.*
ἰὼ κελαινὰ λόγχα προμάχου δορός,
ἃ τότε θοᾶι νύμφαν
ἄγαγες ἀπ' αἰπεινᾶς
τάνδ' Οἰχαλίας αἰχμᾶι.
860 *ἁ δ' ἀμφίπολος Κύπρις ἄναυδος φανερὰ*
τῶνδ' ἐφάνη πράκτωρ.

ΧΟ. *πότερον ἐγὼ μάταιος, ἢ κλύω τινὸς*
οἴκτου δι' οἴκων ἀρτίως ὁρμωμένου;
865 – *τί φημί;*
ἠχεῖ τις οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ
κωκυτὸν εἴσω, καί τι καινίζει στέγη.
– *ξύνες δὲ*
τήνδ' ὡς ἀγηθὴς καὶ συνωφρυωμένη
870 *χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι.*
ΤΡ. *ὦ παῖδες, ὡς ἄρ' ἡμὶν οὐ σμικρῶν κακῶν*
ἦρξεν τὸ δῶρον Ἡρακλεῖ τὸ πόμπιμον.
ΧΟ. *τί δ', ὦ γεραιά, καινοποιηθὲν λέγεις;*
ΤΡ. *βέβηκε Δηιάνειρα τὴν πανυστάτην*
875 *ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός.*
ΧΟ. [*οὐ δή ποθ' ὡς θανοῦσα;*
ΤΡ. *πάντ' ἀκήκοας.*]

855 *ἐπέμολεν* Wunder *ἐπέμολε* T *ἀπέμολε* rell. | *πάθος ὥστ' οἰκτίσαι* T || **856** *κλεινὰ* Dobree | *τοῦ προμάχου* T || **857** *θοᾶι* Musgrave *θοὰν* codd., quod post *νύμφαν* habet Zo | *νύμφαν*] *κόραν* metri causa Blaydes || **860** *ἁ δ'*] *ἅς* Musgrave | *φανεῖσα* Zo || **863** ante hunc versum ⟨*TP. ἰώ μοι*⟩ suppl. Meineke || **865** et **868** paragr. add. Pearson || **866** *εὔσημον* Walter || **869** *ἀγηθὴς* Herwerden *ἀήθης* codd. *κατηφὴς* Blaydes: cf. Choric. Gaz. 1. 93 *ἀηδὴς* ed. Lond. 1722 || **870** *σημανοῦσα* T *σημαίνουσα* rell. || **871** *ἡμὶν* AUYZo[pc]T *ἡμῖν* LKZgZo[ac] || **876** del. Dover

ΧΟ. τέθνηκεν ἡ τάλαινα;
ΤΡ. δεύτερον κλύεις.
ΧΟ. τάλαιν', ὀλέθρια· τίνι τρόπωι θανεῖν σφε φής;
ΤΡ. † σχετλιώτατα πρός γε πρᾶξιν.†
880 ΧΟ. εἰπέ, τῶι μόρωι, γύναι, ξυντρέχει;
ΤΡ. αὑτὴν διηίστωσε.
ΧΟ. τίς θυμός – ἢ τίνες νόσοι –
τάνδ' αἰχμᾶι βέλεος κακοῦ
ξυνεῖλε; πῶς ἐμήσατο
885 πρὸς θανάτωι θάνατον
ἀνύσασα μόνα στονόεν-
τος ἐν τομᾶι σιδάρου;
ἐπεῖδες, – ὦ μάταια – τάνδε τὰν ὕβριν;
ΤΡ. ἐπεῖδον, ὡς δὴ πλησία παραστάτις.
890 ΧΟ. τίς ἦνε; πῶς; φέρ' εἰπέ.
ΤΡ. αὐτὴ πρὸς αὑτῆς χειροποιεῖται τάδε.
ΧΟ. τί φωνεῖς;
ΤΡ. σαφηνῆ.
ΧΟ. ἔτεκ' ἔτεκε μεγάλαν ἁ
νέορτος ἅδε νύμφα

878 *ὀλεθρία* codd.: nescio quis primus corr. || **879** *σχετλίωι τὰ* Hermann || **881** *αὑτὴν*] *ἄτη* Wunder | *διηίστωσεν* ⟨*ἀμφήκει ξίφει*⟩ Henderson, Maia n. s. 1 (1976) 21–24 || **883** *αἰχμᾶι* Hermann *αἰχμὰ* T, qui *τάνδ'* ... *ξυνεῖλε* nutrici tribuit *αἰχμὰν* rell. || **886** sq. *στονόεντος* ... *σιδήρου* nutrici trib. codd.: vide Maas, Griech. Metrik paragr. 76 || **887** *σιδήρου* codd.: corr. Erfurdt || **888** *– ὦ μάταια –* Dawe *ὦ ματαῖα* LK *ὦ ματαία* rell. et ΣL | *τάνδε τὰν* Blaydes (*τήνδε τὴν* iam Wunder) *τάνδ'* codd. || **890** *τίς ἦν*; codd.: corr. Page *τίς ἦνεν*, eiecto *πῶς*; iam Wunder || **891** *αὐτῆς* LAYT *αὑτῆς* rell. || **892** *σαφανῆ* Zo || **893** *ἔτεκ' ἔτεκε* Schroeder *ἔτεκεν ἔτεκε* T *ἔτεκεν ἔτεκεν* rell. || **894** *ἁ νέορτος* Σ *ἀνέορτος* fere codd. | *ὧδε* KZg

895 δόμοισι τοῖσδ' Ἐρινύν.
ΤΡ. ἄγαν γε· μᾶλλον δ', εἰ παροῦσα πλησία
ἔλευσσες οἷ' ἔδρασε, κάρτ' ἂν ᾤκτισας.
ΤΡ. καὶ ταῦτ' ἔτλη τις χεὶρ γυναικεία κτίσαι;
ΤΡ. δεινῶς γε· πεύσηι δ' ὥστε μαρτυρεῖν ἐμοί.
900 ἐπεὶ παρῆλθε δωμάτων εἴσω μόνη
καὶ παῖδ' ἐν αὐλαῖς εἶδε κοῖλα δέμνια
στορνύνθ' ὅπως ἄψορρον ἀντώιη πατρί,
[κρύψασ' ἑαυτὴν ἔνθα μή τις εἰσίδοι,]
βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ' ὅτι
905 γένοιντ' ἔρημοι, κλαῖε δ' ὀργάνων ὅτου
ψαύσειεν οἷς ἐχρῆτο δειλαία πάρος·
ἄλληι δὲ κἄλληι δωμάτων στρωφωμένη,
εἴ του φίλων βλέψειεν οἰκετῶν δέμας,
ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη,
910 αὐτὴ τὸν αὑτῆς δαίμον' ἀνακαλουμένη
†καὶ τὰς ἄπαιδας ἐς τὸ λοιπὸν οὐσίας.†
ἐπεὶ δὲ τῶνδ' ἔληξεν, ἐξαίφνης σφ' ὁρῶ
τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην.
κἀγὼ λαθραῖον ὄμμ' ἐπεσκιασμένη
915 φρούρουν· ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
τοῖς Ἡρακλείοις στρωτὰ βάλλουσαν φάρη.

895 *Ἐρινύν* K *Ἐρινῦν* L *Ἐριννύν* rell. || **896** *δ'* om. L^{ac}KZg, add. L^{s} || **897** *ἔλευσσες* **AUY** *ἔλευσας* **T** *ἔλευσες* rell. || **899** *θ'* **Zg** || **900** *γὰρ ἦλθε* Schaefer || **901** *κοινὰ* T^{γρ}, *γρ.* **ΣL** || **902** *στρωννύνθ'* **KZgT** | *ἄψορρος* **Zo**, coni. Blaydes | *ἀντώιη* **ZgT** *ἀντοίη* **LKAUY** *ἀντεύη* **Zo** || **903** del. Meineke || **905** *γένοιτ'* (*γένετ'* **Zo**) *ἐρήμη* codd.: corr. Nauck || **906** *ἐχρῆθ' ὁ δείλαιος* Köchly || **907–911** del. Wecklein || **908** *που* **AUY** | *φίλον* **Zo** || **910** vers. om. **Y**^{ac}: *τὸν*] *πρὸς* **Y** | *αὑτῆς* **AU**^{pc}**Y** *αὐτῆς* **U**^{ac} rell. || **911** *ἀνάνδρους* Blaydes | *οὐσίας*] *ἑστίας* Reiske: num error e glossemate *θυσίας* ortus est?

ὅπως δ' ἐτέλεσε τοῦτ', ἐπενθοροῦσ' ἄνω
καθέζετ' ἐν μέσοισιν εὐνατηρίοις
καὶ δακρύων ῥήξασα θερμὰ νάματα
920 *ἔλεξεν· ὦ λέχη τε καὶ νυμφεῖ' ἐμά,*
τὸ λοιπὸν ἤδη χαίρεθ', ὡς ἔμ' οὔποτε
δέξεσθ' ἔτ' ἐν κοίταισι ταῖσδ' εὐνάτριαν.
τοσαῦτα φωνήσασα συντόνωι χερὶ
λύει τὸν αὑτῆς πέπλον, ὧι χρυσήλατος
925 *προὔκειτο μαστῶν περονίς, ἐκ δ' ἐλώπισεν*
πλευρὰν ἅπασαν ὠλένην τ' εὐώνυμον.
κἀγὼ δρομαία βᾶσ', ὅσονπερ ἔσθενον,
τῶι παιδὶ φράζω τῆσδε μωμένης τάδε.
κἀν ὧι τὸ κεῖσε δεῦρό τ' ἐξορμώμεθα,
930 *ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνωι*
πλευρὰν ὑφ' ἧπαρ καὶ φρένας πεπληγμένην.
[ἰδὼν δ' ὁ παῖς ᾤμωξεν· ἔγνω γὰρ τάλας
τοὔργον κατ' ὀργὴν ὡς ἐφάψειεν τόδε,
ὄψ' ἐκδιδαχθεὶς τῶν κατ' οἶκον οὕνεκα
935 *ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε.]*
κἀνταῦθ' ὁ παῖς δύστηνος οὔτ' ὀδυρμάτων
ἐλείπετ' οὐδὲν ἀμφί νιν γοώμενος,
οὔτ' ἀμφιπίπτων στόμασιν, ἀλλὰ πλευρόθεν
πλευρὰν παρεὶς ἔκειτο πόλλ' ἀναστένων,

917 *ἄνω*] *ἅμα* Zo ‖ **918** *εὐναστηρίοις* codd.: corr. Dindorf ‖ **922** *ἔτ'* om. **KZg** | *εὐνήτριαν* (*-ήστριαν* **Y**) codd.: corr. Nauck ‖ **924** *αὑτῆς* **AUY** *αὐτῆς* rell. | *ὧι*] *ἧι* Wakefield *οὗ* Schaefer ‖ **924** sq. *ὧι … περονίς* eiecit Herwerden ‖ **927** *δρομαία* **ZoT** *δρομαῖος* **Zg** *δρομαῖα* rell. ‖ **928** *τῆς τεχνωμένης* codd.: corr. Meineke ‖ **931** *πλευρὰς* **ΣA**, Hom. *Λ* 103 | *ἐφ'* **A** ‖ **932** *ὁ παῖς* om. **LK** ‖ **932** sqq. aut 932–935 aut 936–942 secludendos esse censet Jernstedt ‖ **935** *ἤκουσα* Zo *ἀλοῦσα* Heimreich | *ἔρξειεν* **ZgA**[pc]**UY** *ἔρξεν* **A**[ac]

940 ὥς νιν ματαίως αἰτίαι βάλοι κακῆι,
κλαίων ὁθούνεκ' ἐκ δυοῖν ἔσοιθ' ἅμα
πατρός τ' ἐκείνης τ' ὠρφανισμένος βίον.
τοιαῦτα τἀνθάδ' ἐστίν· ὥστ' εἴ τις δύο
ἢ κἀπὶ πλείους ἡμέρας λογίζεται,
945 μάταιός ἐστιν· οὐ γὰρ ἔσθ' ἥ γ' αὔριον
πρὶν εὖ πάθηι τις τὴν παροῦσαν ἡμέραν.

ΧΟ. πότερα πρότερον ἐπιστένω; στρ. α
πότερα μέλεα περαιτέρω;
δύσκριτ' ἔμοιγε δυστάνωι.

950 τάδε μὲν ἔχομεν ὁρᾶν δόμοις, ἀντ. α
τάδε δὲ μελόμεν' ἔτ' ἐλπίσιν·
κοινὰ δ' ἔχειν τε καὶ μέλλειν.

εἴθ' ἀνεμόεσσά τις στρ. β
γένοιτ' ἔπουρος ἑστιῶτις αὔρα,
955 ἥτις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως
τὸν Ζηνὸς ἄλκιμον γόνον

940 *βάλλοι* **Zg** ‖ **941** *κλαίων θ'* Wakefield | *ἐκ*] *εἷς* Nauck ‖ **942** *βίου* codd.: corr. Wakefield ‖ **943** *εἴ τις*] *εἴπερ* **T** ‖ **944** *κἀπὶ πλείους* West *καὶ* codd., dein *πλέους τις* **T**, et s. l. **AUY** *γε πλείστας* **Zg** *πλείους τις* rell. et Eustathius 801, 1 ‖ **945** *ἡ 'ς αὔριον* Wakefield ‖ **946** *πάθοι* **UZo** ‖ **947** *πότερα πρότερον* Dindorf *πότερ' ἂν πρότερα* **L** *πότερ' ἂν πότερα* **AUY** *πότερ' ἂν ποτέραι* **K** *πότερ' ἂν πότερ'* **ZgZo** *πότερα πρότερ' ἂν* **T** ‖ **948** *μέλεα* Musgrave *τὰ τελευταῖα* **K** *τέλεα* rell. ‖ **951** *μέλλομεν* codd.: corr. Hermann *μένομεν* rec., coni. Erfurdt | *ἔτ'* Dawe *ἐπ'* codd. ‖ **954** *Ἱστιῶτις* Blaydes | *αὔρα* **T** *αὖρα* rell. ‖ **956** *Ζηνὸς* **T**, silente **ΣT** *Διὸς* rell., quod post *ἄλκιμον* traiecit Subkoff

μὴ ταρβαλέα θάνοι-
μι μοῦνον εἰσιδοῦσ' ἄφαρ·
ἐπεὶ ἐν δυσαπαλλάκτοις ὀδύναις
960 χωρεῖν πρὸ δόμων λέγου-
σιν ἄσπετόν τι θαῦμα.

ἀγχοῦ δ' ἄρα κοὺ μακρὰν ἀντ. β
προὔκλαιον, ὀξύφωνος ὡς ἀηδών.
ξένων γὰρ ἐξόμιλος ἅδε τις βάσις.
965 πᾶι δ' αὖ φορεῖ νιν; ὡς φίλου
προκηδομένα βαρεῖ-
αν ἄψοφον φέρει βάσιν.
αἰαῖ· ὅδ' ἀναύδατος φέρεται.
τί χρή, θανόντα νιν ἤ
970 καθ' ὕπνον ὄντα κρῖναι;

ΥΛ. οἴμοι ἐγὼ σοῦ,
πάτερ, † οἴμοι ἐγὼ σοῦ† μέλεος.
τί πάθω; τί δὲ μήσομαι; οἴμοι.

ΠΡΕΣΒΥΣ
σίγα, τέκνον, μὴ κινήσῃς
975 ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος·

960 *πρὸ* LAUY *πρὸς* KZgZoT | *δόμον* Zo *δῶμα* T || **961** *ἄσπετον θέαμα* Schenkl || **963** *ἔκλαιον* T | *ἀηδών* T *ἀηδὼν ξένοι* rell. || **964** *ἅδε* Blaydes *ἥδε* codd. | *στάσις* Meineke || **965** *πᾶι*] *πῶς* Zo *πᾶς* T | *δ' αὖ*] *δὲ* Hermann: cf. 956 | *φορεῖ* LAUYT *φέρει* ZgT[gl] *φρονέει* Zo *φωνεῖ* K | *χὼς* Blaydes || **966** *προκηδομένα* AUY *προσκηδομέναν* T *προκηδομέναν* rell. || **967** *ἄψοφος* Herwerden || **968** *αἰαῖ* Erfurdt *αἴ* quater LKZoT *αἲ* quater AUYZg | *ὁ δ'* Schaefer | *ἄναυδος* codd.: corr. Erfurdt || **969** *φθίμενον* Hermann: cf. 960 || **971** et **972** *οἴμοι* Dindorf *ὤιμοι* LKUY *ὤμοι* AZgZoT || **972** *οἴμοι ἐγὼ σοῦ μέλεος*] *ὦ μέλεος* Dindorf

ζῆι γὰρ προπετής· ἀλλ' ἴσχε δακὼν
στόμα σόν.

ΥΛ. πῶς φῄς, γέρον; ἦ ζῆι;

ΠΡ. οὐ μὴ 'ξεγερεῖς τὸν ὕπνωι κάτοχον,
κἀκκινήσεις κἀναστήσεις

980 φοιτάδα δεινὴν
νόσον, ὦ τέκνον.

ΥΛ. ἀλλ' ἐπί μοι μελέωι
βάρος ἄπλετον· ἐμμέμονεν φρήν.

ΗΡΑΚΛΗΣ

ὦ Ζεῦ,
ποῖ γᾶς ἥκω; παρὰ τέοισι βροτῶν

985 κεῖμαι πεπονημένος ἀλλήκτοις
ὀδύναις; οἴμοι μοι ἐγὼ τλάμων·
ἁ δ' αὖ μιαρὰ βρύκει. φεῦ.

ΠΡ. ἆρ' ἐξήιδησθ' ὅσον ἦν κέρδος
σιγῆι κεύθειν καὶ μὴ σκεδάσαι

990 τῶιδ' ἀπὸ κρατὸς
βλεφάρων [θ'] ὕπνον;

ΥΛ. οὐ γὰρ ἔχω πῶς ἂν
στέρξαιμι κακὸν τόδε λεύσσων.

ΗΡ. ὦ Κηναία κρηπὶς βωμῶν,

977 γέρον AUY γέρων LZo ὦ γέρον KZgT || **978** 'ξεγερεῖς Dawes 'ξεγείρεις L 'ξεγείρῃς L[1] s. l., rell. || **979** κἀκκινήσεις κἀναστήσεις LZo -ῃς -ῃς rell. || **983** ἐμμέμονεν rec. -μονε codd. nostri; ante hoc verbum interpunxit Vauvilliers || **984** τεοῖσι H. Müller τοῖσι codd. || **986** οἴμοι μοι Brunck ὤμοι ZgT οἴμοι rell. || **987** ἁ δ'] ἡ δ' codd. ἅδ' Blaydes | αὖ] ἆρ K | φεῦ bis Zg || **988** ἐξήιδησθ' Cobet ἐξήιδης LAUY ἐξῄδεις KZgZoT ἐξήιδη σ' Wecklein ἐξηύδησ' Blaydes || **991** θ' del. Wecklein

ἱερῶν οἵαν οἵων ἐπί μοι
995 μελέωι χάριν ἠνύσω, ὦ Ζεῦ·
οἵαν μ' ἄρ' ἔθου λώβαν, οἵαν·
ἣ μήποτ' ἐγὼ προσιδεῖν σ' ὁ τάλας
ὤφελον ὄσσοις, τόδ' ἀκήλητον
μανίας ἄνθος καταδερχθῆναι.
1000 τίς γὰρ ἀοιδός, τίς ὁ χειροτέχνης
ἰατορίας, ὃς τάνδ' ἄταν
χωρὶς Ζηνὸς κατακηλήσει;
θαῦμ' ἂν πόρρωθεν ἰδοίμαν.

ἒ ἕ, στρ.
⟨– – – ⏑ –⟩
1005a ἐᾶτέ μ' ἐᾶτέ με
1005b δύσμορον εὐνᾶσθαι.
ἐᾶτέ με δύστανον.
πᾶι μου ψαύεις; ποῖ καὶ κλίνεις;
ἀπολεῖς μ' ἀπολεῖς·
ἀνατέτροφας ὅ τι καὶ μύσηι.

994 *οἵαν οἵων* Martin *οἵαν ἀνθ' οἵων θυμάτων* codd. (*νῦν* post *οἵαν* add. T) ‖ **995** *ἤνυσας* Wakefield | *ὦ* om. L in lin. | *ὦ Ζεῦ* om. K ‖ **997** *ἥ* Dawe *ἣν* codd. | *σ' ὁ* Dawe *ὁ* codd. ‖ **999** *καταφλεχθῆναι* Wakefield ‖ **1001** *τήνδ' ἄτην* codd.: corr. Blaydes ‖ **1003** *ἰδοίμαν* T *ἴδοιμ' ἂν* LK *ἰδοίμην* L s. l., rell. ‖ **1004** sqq.: vide Coxon, Class. Rev. 61 (1947) 7, et Lloyd-Jones, Yale Class. Stud. 22 (1972) 267–270 ‖ **1004** post *ἒ ἕ* lacunam indicavit Coxon ‖ **1005** *ἐᾶτε με* sic semel T | *δύσμορον*] *ὕστατον* L[γρ] | *εὐνᾶσθαι* Ellendt *εὐνᾶσαι* LT *εὐνάσαι* rell. ‖ **1006** om. ZgZoT | post *δύστανον* iterant *εὐνᾶσαι* vel *εὐνάσαι* codd.: corr. Dain ‖ **1007** *ποῖ καὶ* Wakefield *ποῖ δὲ* T *ποῖ* rell. *παῖ; ποῖ* Blaydes ‖ **1008** *ἀπολεῖς*[2]] *ἀπολεῖς μ'* L[ac] ‖ **1009** *ἀνατέτροφας* Erfurdt *ἀντέτροφας* LAUY *ἀντέστροφας* K *ἀνέτροφας* Zo *ἂν στροφας* Zg *ἀντέστρωφάς θ'* T | *καὶ μύσαι* Linwood

1010 ἧπταί μου, τοτοτοῖ· ἅδ' αὖθ' ἕρπει. πόθεν ἔστ', ὦ
πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες, οἷς δὴ
πολλὰ μὲν ἐν πόντωι, κατά τε δρία πάντα
καθαίρων
ὠλεκόμαν ὁ τάλας, καὶ νῦν ἐπὶ τῶιδε νοσοῦντι
οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἐπιτρέψει;

1015 ἒ ἔ,
οὐδ' ἀπαράξαι ⟨–⟩ χρῶτα βίαι θέλει
⟨–⏑⏑–⏑–⟩
⟨–⏑⏑–⟩ μολὼν τοῦ στυγεροῦ· φεῦ φεῦ.

ΠΡ. ὦ παῖ τοῦδ' ἀνδρός, τοὔργον τόδε μεῖζον ἀνήκει
ἢ κατ' ἐμὰν ῥώμαν· σὺ δὲ σύλλαβε· † σοί τε
γὰρ ὄμμα
1020 ἔμπλεον ἢ δι' ἐμοῦ† σώιζειν.

ΥΛ. ψαύω μὲν ἔγωγε,
λαθίπονον δ' ὀδυνᾶν οὔτ' ἔνδοθεν οὔτε θύραθεν
ἔστι μοι ἐξανύσαι βίοτον· τοιαῦτα νέμει Ζεύς.

ΗΡ. ⟨ἒ ἔ,⟩ ἀντ.
ὦ παῖ, ποῦ ποτ' εἶ;

1010 τοτοτοῖ] *νόσος* **T** *νόσος ὀττοτοί* **ZgZo** *τοῦτό τοι γρ.* in **AUY** | *ἅδ'*] *ἥδ'* codd. | *αὖ 'φέρπει* Blaydes | *ποῦ πόθεν* **T** || **1011** *οἷς* Wakefield *οὓς* codd. || **1012** *ἐνὶ* **LK** || **1014** *ἐπιτρέψει* **Zo** *ἀπο-* **LAUYZg** *ἀποτρέψειν* **K** *ἀνστρέψει* **T**: exspectares *οὐχὶ προπέμψει* (Blaydes): cf. Phil. 1205 || **1016** ⟨*μου*⟩ Blaydes | *χρῶτα* Dawe *κρᾶτα* codd. | *βίαι* Wakefield *βίου* codd.: *τὴν κεφαλήν μου ἀποτεμεῖν καὶ ἐλευθερῶσαι τοῦ μοχθηροῦ βίου* **ΣL** | post *θέλει* lacunam statuit Dain || **1018** *ἀνείκει* **L** in lin. *ἂν εἴη* Nauck || **1020** *ἔμπλεων* **ZgZoT** | emendatio nulla arridet || **1021** *ὀδύναν* codd.: corr. Musgrave | *θύραθεν* **L** s. l., **K** *θύραζεν* **L**[ac]**Zo** *θύραζε* **ZgT** *θύραζ'* **L**[pc]**AUY** || **1022** *ἔνεστι* **L**[pc]**AUY** | *βίοτον·* Musgrave *βιότου* codd. || **1023** *ἒ ἔ* add. Dain | *ὦ παῖ* Seidler *ὦ παῖ παῖ* codd. *παῖ παῖ* Hermann | *ποῦ* om. **K**

τᾶιδέ με, τᾶιδέ με
1025 πρόσλαβε κουφίσας.
ἒ ἕ, ἰὼ δαῖμον,
θρώισκει δ' αὖ, θρώισκει δειλαία
διολοῦσ' ἡμᾶς
1030 ἀποτίβατος ἀγρία νόσος.

ἰὼ ἰὼ Παλλάς, τόδε μ' αὖ λωβᾶται. ἰὼ παῖ,
τὸν φύτορ' οἰκτίρας ἀνεπίφθονον εἴρυσον ἔγχος,
1035 παῖσον ἐμᾶς ὑπὸ κλῆιδος· ἀκοῦ δ' ἄχος ὧι
μ' ἐχόλωσεν
σὰ μάτηρ ἄθεος, τὰν ὧδ' ἐπίδοιμι πεσοῦσαν
1040 αὔτως, ὧδ' αὔτως, ὥς μ' ὤλεσεν ⟨–⏑⏑––⟩.

⟨ἒ ἕ,⟩
ὦ Διὸς αὐθαίμων, ὦ γλυκὺς Ἀίδας,
εὔνασον εὔνασόν μ'
ὠκυπέται μόρωι τὸν μέλεον φθίσας.

ΧΟ. κλύουσ' ἔφριξα τάσδε συμφοράς, φίλαι,
1045 ἄνακτος, οἵαις οἷος ὢν ἐλαύνεται.
ΗΡ. ὦ πολλὰ δὴ καὶ θερμὰ †καὶ λόγωι κακὰ†

1025 *κουφίσσας* T ‖ **1026** *ἰὼ* semel rec., bis codd. nostri | *δαίμων* Seidler ‖ **1031** *ἰὼ* bis Bergk, semel codd.: *ὦ Παλλάς, Παλλάς,* mavult Dindorf ‖ **1033** *φύτορ'* Dindorf *φύσαντ'* codd., quo recepto *οἴκτειρ'* coni. Fröhlich ‖ **1034** *εἴρυσαι* Blaydes: *ἐπίσπασαι* ΣL ‖ **1035** *ἡμᾶς* LK ‖ **1036** *ὧι*] *ὅ* L | *ἐχό*✱*λωσεν* L *ἐχόλησεν* $L^{sγρ}$ *ἐλόχησεν* Blaydes *ἐδόλωσεν* Spengel ‖ **1037** *τὰν* Seidler *ἂν* codd. ‖ **1040** *αὔτως ὧδ' αὔτως* codd. ‖ **1041** *ἒ ἕ* add. Dain | *ὦ Διὸς αὐθαίμων* om. L^{ac}, add. i. m. L^{1pc}, eadem linea ac *ὤλεσεν* (1040) ‖ **1042** *εὔνασον εὔνασόν μ'* Erfurdt *εὔνασον εὔνασον* T *εὔνασόν μ' εὔνασον* rell. ‖ **1044** *τᾶσδε συμφορᾶς* LK ‖ **1045** *οἵαις* ZgZoT *οἵας* rell. ‖ **1046** sq. fort. *ἡ πολλὰ* … *μοχθήσας ἔχω* (hoc iam Capps) ‖ **1046** *κοὐ* Bothe | *λόγων πέρα* Wunder

καὶ χερσὶ καὶ νώτοισι μοχθήσας ἐγώ·
κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς
προύθηκεν οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς ἐμοὶ
1050 *οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη*
καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἐρινύων
ὑφαντὸν ἀμφίβληστρον, ὧι διόλλυμαι.
πλευραῖσι γὰρ προσμαχθὲν ἐκ μὲν ἐσχάτας
βέβρωκε σάρκας, πλεύμονός τ' ἀρτηρίας
1055 *ῥοφεῖ ξυνιποῦν· ἐκ δὲ χλωρὸν αἷμά μου*
πέπωκεν ἤδη, καὶ διέφθαρμαι δέμας
τὸ πᾶν ἀφράστωι τῆιδε χειρωθεὶς πέδηι.
κοὐ ταῦτα λόγχη πεδιάς, οὔθ' ὁ γηγενὴς
στρατὸς Γιγάντων, οὔτε θήρειος βία,
1060 *οὔθ' Ἑλλάς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσων ἐγὼ*
γαῖαν καθαίρων ἱκόμην ἔδρασέ πω·
γυνὴ δὲ θῆλυς οὖσα κἄνανδρος φύσιν
μόνη με δὴ καθεῖλε, φασγάνου δίχα.
ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγώς,
1065 *καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσηις πλέον.*
δός μοι χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν
ἐς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα
εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ κείνης ὁρῶν
λωβητὸν εἶδος ἐν δίκηι κακούμενον.

1047 *χειρὶ* AUY ‖ **1048** *οὔπω* Wunder ‖ **1051** *Ἐρινύων* LK *Ἐριννύων* rell. ‖ **1054** *πλεύμονος* L *πλεύμονας* AUY *πνεύμονας* K *πνεύμονος* L s. l., ZgZoT ‖ **1055** *ξυνιποῦν* Dawe *ξυνοικοῦν* codd.: 'urgens graviter' Cicero Tusc. Disp. 2, 8 ‖ **1056** *πέπτωκεν* AY | *διέφθαρται* K: 'extabuit' Cicero ‖ **1058** *κοὐ*] *καὶ* Blaydes ‖ **1059** *θήριος* LKZo ‖ **1060** *ὅσων* Blaydes *ὅσην* codd. ‖ **1062** *θῆλυν σχοῦσα* Reiske *θῆλυ φῦσα* Steinhart | *κἄνανδρος* Tournier *κοὐκ ἀνδρὸς* codd. ‖ **1065** *πρεσβεύσηι* K ‖ **1067** *εἰς* AUY | *σαφῶς* Zo

1070 ἴθ', ὦ τέκνον, τόλμησον, οἴκτιρόν τέ με
πολλοῖσιν οἰκτρόν, ὅστις ὥστε παρθένος
βέβρυχα κλαίων· καὶ τόδ' οὐδ' ἂν εἷς ποτε
τόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα,
ἀλλ' ἀστένακτος αἰὲν εἰπόμην κακοῖς·
1075 νῦν δ' ἐκ τοιούτου θῆλυς ηὕρημαι τάλας.
καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρός,
σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
πέπονθα· δείξω γὰρ τάδ' ἐκ καλυμμάτων·
ἰδού, θεᾶσθε πάντες ἄθλιον δέμας,
1080 ὁρᾶτε τὸν δύστηνον, ὡς οἰκτρῶς ἔχω.
αἰαῖ, ὢ τάλας, αἰαῖ,
ἔθαλψέ μ' ἄτης σπασμὸς ἀρτίως ὅδ' αὖ·
διῆιξε πλευρῶν, οὐδ' ἀγύμναστόν μ' ἐᾶν
ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
1085 ὦναξ Ἀίδη, δέξαι μ',
ὦ Διὸς ἀκτίς, παῖσον·
ἔνσεισον, ὦναξ, ἐγκατάσκηψον βέλος,
πάτερ, κεραυνοῦ. δαίνυται γὰρ αὖ πάλιν·
ἤνθηκεν, ἐξώρμηκεν. ὦ χέρες, χέρες,
1090 ὦ νῶτα καὶ στέρν', ὦ φίλοι βραχίονες,
ὑμεῖς δὲ κεῖνοι δὴ καθέσταθ' οἵ ποτε
Νεμέας ἔνοικον, βουκόλων ἀλάστορα,

1070 *οἴκτειρον* ut solent codd. || **1071** *ὥστε*] *ὥς τις* **L** *ὅστις* **K** || **1074** *εἰπόμην* Σ ad Ai. 318 *ἑσπόμην* codd. || **1075** *εὕρημαι* codd.: corr. Dindorf || **1077** *θ'* Nauck || **1080** *δύστανον* **L** in lin., **K** || **1081** *αἰαῖ*[2]] *ἒ ἔ* **AUY** *ἒ ἒ* **T** || **1082** *ἔθαλψέ μ'* vult **K**, coni. Hermann *ἔθαλψεν* rell. | post *ἀρτίως* interpungunt codd. plerique || **1085** *μ'* **T** *με* rell. || **1089** *ἐξώγκηκεν* Dawe: *ἀνεκάχλασεν* gl. in **AUYT** et **ΣL** *ὥρμηκεν, ἐξήνθηκεν* F. W. Schmidt || **1091** *δε κεῖνοι* **L** *δέ κεῖνοι* **K** *ἐκεῖνοι* rell. et lemma **ΣL** || **1092** *ληΐστορα* Blaydes

λέοντ', ἄπλατον θρέμμα κἀπροσήγορον,
βίαι κατειργάσασθε, Λερναίαν θ' ὕδραν,
1095 διφυᾶ τ' ἄμεικτον ἱπποβάμονα στρατὸν
θηρῶν, ὑβριστήν, ἄνομον, ὑπέροχον βίαν,
Ἐρυμάνθιόν τε θῆρα, τόν θ' ὑπὸ χθονὸς
Ἅιδου τρίκρανον σκύλακ', ἀπρόσμαχον τέρας,
δεινῆς Ἐχίδνης θρέμμα, τόν τε χρυσέων
1100 δράκοντα μήλων φύλακ' ἐπ' ἐσχάτοις τόποις·
ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
κοὐδεὶς τροπαῖ' ἔστησε τῶν ἐμῶν χερῶν.
νῦν δ' ὧδ' ἄναρθρος καὶ κατερρακωμένος
τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι τάλας,
1105 ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
ὁ τοῦ κατ' ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
ἀλλ' εὖ γέ τοι τόδ' ἴστε, κἂν τὸ μηδὲν ὦ,
κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
χειρώσομαι κἀκ τῶνδε· προσμόλοι μόνον,
1110 ἵν' ἐκδιδαχθῆι πᾶσιν ἀγγέλλειν ὅτι
καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτεισάμην.
ΧΟ. ὦ τλῆμον Ἑλλάς· πένθος οἷον εἰσορῶ
ἕξουσαν ἀνδρὸς τοῦδέ γ' εἰ σφαλήσεται.
ΥΛ. ἐπεὶ παρείκεις ἀντιφωνῆσαι, πάτερ,
1115 σιγὴν παρασχών, κλῦθί μου νοσῶν ὅμως·
αἰτήσομαι γάρ σ' ὧν δίκαια τυγχάνειν.
δός μοι σεαυτόν, μὴ τοσοῦτον ὡς δάκνηι

1093 ἄπλαστον **ZgT** ἄπληστον **Zo** || **1095** διφυῆ codd.: corr. Dindorf | ἄμικτον codd. || **1096** ὑπείροχον codd.: corr. Bentley | βία **ZgZoT** || **1097** τὸν δ' **AY** || **1098** ἀπρόσμικτον Blaydes || **1099** τῶν **T** || **1102** τροπαῖ' **L** τρόπαι' rell. || **1106** αὐθηδὴς **A**, et αὐθ- incepit L[ac] || **1112** ὦ codd. | sic post Ἑλλάς interpunxit Blaydes || **1113** σ' ἕξουσαν Lloyd-Jones | σφαλεῖσ' ἔσηι Wakefield || **1114** παρείκεις Wecklein παρέσχες codd. || **1117** τοιοῦτον Mudge

θυμῶι δύσοργος· οὐ γὰρ ἂν γνοίης ἐν οἷς
χαίρειν προθυμῆι κἀν ὅτοις ἀλγεῖς μάτην.
1120 ΗΡ. εἰπὼν ὃ χρήιζεις λῆξον· ὡς ἐγὼ νοσῶν
οὐδὲν ξυνίημ' ὧν σὺ ποικίλλεις πάλαι.
ΥΛ. τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων ἐν οἷς
νῦν ἐστιν οἷς θ' ἥμαρτεν οὐχ ἑκουσία.
ΗΡ. ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
1125 τῆς πατροφόντου μητρός, ὡς κλύειν ἐμέ;
ΥΛ. ἔχει γὰρ οὕτως ὥστε μὴ σιγᾶν πρέπειν.
ΗΡ. οὐ δῆτα, τοῖς γε πρόσθεν ἡμαρτημένοις.
ΥΛ. ἀλλ' οὐδὲ μὲν δὴ τοῖς γ' ἐφ' ἡμέραν ἐρεῖς.
ΗΡ. λέγ', εὐλαβοῦ δὲ μὴ φανῇς κακὸς γεγώς.
1130 ΥΛ. λέγω· τέθνηκεν ἀρτίως νεοσφαγής.
ΗΡ. πρὸς τοῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.
ΥΛ. αὐτὴ πρὸς αὑτῆς, οὐδενὸς πρὸς ἐκτόπου.
ΗΡ. οἴμοι· πρὶν ὡς χρῆν σφ' ἐξ ἐμῆς θανεῖν χερός;
ΥΛ. κἂν σοῦ στραφείη θυμός, εἰ τὸ πᾶν μάθοις.
1135 ΗΡ. δεινοῦ λόγου κατῆρξας· εἰπὲ δ' ἧι νοεῖς.
ΥΛ. ἅπαν τὸ χρῆμ' ἥμαρτε χρηστὰ μωμένη.
ΗΡ. χρήστ', ὦ κάκιστε, πατέρα σὸν κτείνασα δρᾶι;
ΥΛ. στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν
ἀπήμπλαχ', ὡς προσεῖδε τοὺς ἐκτὸς γάμους.
1140 ΗΡ. καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;
ΥΛ. Νέσσος πάλαι Κένταυρος ἐξέπεισέ νιν
τοιῶιδε φίλτρωι τὸν σὸν ἐκμῆναι πόθον.
ΗΡ. ἰοὺ ἰοὺ δύστηνος, οἴχομαι τάλας·

1123 *ἐστ' ἐν* rec. | *ὥς θ'* Nauck || **1132** *αὑτῆς* **LK** || **1134** *σοῦ* Schaefer *σου* codd. || **1136** sunt qui post *χρῆμ'* interpungere malint | *μωμένη* **K** et pap. Oxy. 1805 *μνωμένη* rell. || **1137** *κτείνασ' ἔδρα* Blaydes || **1138** *στέργηθρα* Nauck | *προσλαβεῖν* **K** post *προσβαλεῖν* interpungit pap. | *ἔθεν* Hermann || **1139** *ἐκτὸς* Hense *ἔνδον* codd.: cf. app. crit. ad v. 677 || **1141** *Νέσος* **LKT**

ὄλωλ' ὄλωλα, φέγγος οὐκέτ' ἐστί μοι.
1145 οἴμοι, φρονῶ δὴ ξυμφορᾶς ἵν' ἕσταμεν.
ἴθ', ὦ τέκνον· πατὴρ γὰρ οὐκέτ' ἐστί σοι·
κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων,
κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
1150 φήμην πύθησθε θεσφάτων θ' ὅσ' οἶδ' ἐγώ.
ΥΛ. ἀλλ' οὔτε μήτηρ ἐνθάδ', ἀλλ' ἐπακτίαι
Τίρυνθι συμβέβηκεν ὥστ' ἔχειν ἕδραν,
παίδων τε τοὺς μὲν ξυλλαβοῦσ' αὐτὴ τρέφει,
τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις·
1155 ἡμεῖς δ' ὅσοι πάρεσμεν, εἴ τι χρή, πάτερ,
πράσσειν, κλύοντες ἐξυπηρετήσομεν.
ΗΡ. σὺ δ' οὖν ἄκουε τοὔργον· ἐξήκεις δ' ἵνα
φανεῖς ὁποῖος ὢν ἀνὴρ ἐμὸς καλῆι.
ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι
1160 πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν ποτε,
ἀλλ' ὅστις Ἅιδου φθίμενος οἰκήτωρ πέλοι.
ὅδ' οὖν ὁ θὴρ Κένταυρος, ὡς τὸ θεῖον ἦν
πρόφαντον, οὕτω ζῶντά μ' ἔκτεινεν θανών.
φανῶ δ' ἐγὼ τούτοισι συμβαίνοντ' ἴσα
1165 μαντεῖα καινά, τοῖς πάλαι ξυνήγορα,
ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ

1144 sq. eiecit Bergk || **1150** *θ' ὅσ'* Dawe *ὅσσ'* **LK** *ὅσ'* rell. || **1151** *οὔ γε* **ZgZo, T** in lin. || **1153** *τε* Reiske *δὲ* codd. || **1156** *πράττειν* codd.: corr. Brunck || **1157** *δ' οὖν* **LAUYT** *νῦν* **ZgZoT**[γρ] *δ'* **K** *νυν* Blaydes || **1158** *φανεῖς* rec. *φανῇ(ι)ς* rell. || **1160** *τῶν ἐμπνεόντων* Erfurdt *βροτῶν πνεόντων* F. W. Schmidt | *ποτε* Musgrave *ὕπο* codd. || **1161** *πέλοι* **Zo**, et s. l. **LKZg** *πέλει* rell. || **1162** sq. del. Otte || **1163** *ἔκτεινεν* **AUY** *ἔκτεινε* **LK** *ἔκτανε* **ZgZoT**

Σελλῶν ἐσελθὼν ἄλσος ἐξεγραψάμην
πρὸς τῆς πατρώιας καὶ πολυγλώσσου δρυός,
ἥ μοι χρόνωι τῶι ζῶντι καὶ παρόντι νῦν
1170 ἔφασκε μόχθων τῶν ἐφεστώτων ἐμοὶ
λύσιν τελεῖσθαι· κἀδόκουν πράξειν καλῶς·
τὸ δ' ἦν ἄρ' οὐδὲν ἄλλο πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίγνεται.
ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον,
1175 δεῖ σ' αὖ γενέσθαι τῶιδε τἀνδρὶ σύμμαχον
καὶ μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα,
ἀλλ' αὐτὸν εἰκαθόντα συμπράσσειν, νόμον
κάλλιστον ἐξευρόντα πειθαρχεῖν πατρί.
ΥΛ. ἀλλ', ὦ πάτερ, ταρβῶ μὲν εἰς λόγου στάσιν
1180 τοιάνδ' ἐπελθών, πείσομαι δ' ἅ σοι δοκεῖ.
ΗΡ. ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι.
ΥΛ. ὡς πρὸς τί πίστιν τήνδ' ἄγαν ἐπιστρέφεις;
ΗΡ. οὐ θᾶσσον οἴσεις, μηδ' ἀπιστήσεις ἐμοί;
ΥΛ. ἰδού, προτείνω, κοὐδὲν ἀντειρήσεται.
1185 ΗΡ. ὄμνυ Διός νυν τοῦ με φύσαντος κάρα.
ΥΛ. ἦ μὴν τί δράσειν; καὶ τόδ' ἐξειρήσεται;
ΗΡ. ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.
ΥΛ. ὄμνυμ' ἔγωγε, Ζῆν' ἔχων ἐπώμοτον.
ΗΡ. εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.

1167 *Ἑλλῶν γρ.* **ΣL** | *ἐσελθὼν* **AY** *προσελθὼν* **ZoT** *εἰσελθὼν* **LKUZg** | *εἰσεγραψάμην* codd.: corr. Elmsley ‖ **1172** *τὸ δ'* **L**[ac]**K** *τόδ'* **L**[spc] rell. ‖ **1173** del. Axt ‖ **1176** *'πειμεῖναι* **L**[c] *αν* supra prius *ει* scr. **L**[s], postea del. | *ὠξύνθαι* Herwerden ‖ **1177** *εἰκαθόντα* **K** *εἰκάθόντα* **A** *εἰκάθοντα* rell. ‖ **1179** *εἰς*] *εἰ* **K** ‖ **1180** *ἐπελθεῖν* repudiat Jebb ‖ **1182** *ἄγαν γ'* **T** | *ἐπιστρέφηι* Musgrave, et hoc cum *πίστεως τῆσδ'* Blaydes ‖ **1183** *ἀπειθήσεις* **Zo** *ἀπιστήσης* **LT**, verum **L** s.l. *προστήσηις* **L**[sγρ] ‖ **1186** *δράσσειν* **YT**

1190 ΥΛ. *οὐ μὴ λάβω· δράσω γάρ· εὔχομαι δ' ὅμως.*
ΗΡ. *οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;*
ΥΛ. *οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ σταθεὶς ἄνω.*
ΗΡ. *ἐνταῦθά νυν χρὴ τοὐμὸν ἐξάραντά σε*
σῶμ' αὐτόχειρα, καὶ ξὺν οἷς χρῄζεις φίλων,
1195 *πολλὴν μὲν ὕλην τῆς βαθυρρίζου δρυὸς*
κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν,
καὶ πευκίνης λαβόντα λαμπάδος σέλας
πρῆσαι. γόου δὲ μηδὲν εἰσίτω δάκρυ,
1200 *ἀλλ' ἀστένακτος κἀδάκρυτος, εἴπερ εἶ*
τοῦδ' ἀνδρός, ἔρξον· εἰ δὲ μή, μενῶ σ' ἐγὼ
καὶ νέρθεν ὢν ἀραῖος εἰσαεὶ βαρύς.
ΥΛ. *οἴμοι, πάτερ, τί εἶπας; οἷά μ' εἴργασαι.*
ΗΡ. *ὁποῖα δραστέ' ἐστίν· εἰ δὲ μή, πατρὸς*
1205 *ἄλλου γενοῦ του, μηδ' ἐμὸς κληθῇς ἔτι.*
ΥΛ. *οἴμοι μάλ' αὖθις, οἷά μ' ἐκκαλῇ, πάτερ,*
φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν.
ΗΡ. *οὐ δῆτ' ἔγωγ', ἀλλ' ὧν ἔχω παιώνιον*
καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν.
1210 ΥΛ. *καὶ πῶς ὑπαίθων σῶμ' ἂν ἰώιμην τὸ σόν;*
ΗΡ. *ἀλλ' εἰ φοβῇ πρὸς τοῦτο, τἄλλά γ' ἔργασαι.*
ΥΛ. *φορᾶς γέ τοι φθόνησις οὐ γενήσεται.*
ΗΡ. *ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;*

1191 *Οἴτηι* Musgrave | *ὑψίστου* Wakefield: cf. Phil. 1289, Pi. Nem. 11, 2 || **1193** *νυν* T (*δὴ* T[gl]) *νῦν* rell. | *ἐξαρέντα* L et lemma ΣL, idem K in lin. || **1196** *πολλὸν δ'*] *πόλλ'* K || **1197** *ἐλαιὸν* LK || **1201** *ἔρξον* LZoT *ἕρξον* rell. || **1203** *τί* LKZg *τίν'* AUY *τί μ'* T *τοῖ'* Zo *ποῖ'* Hense | *ἐργάσηι* Blaydes || **1209** *ἰητῆρα* Zg *ἱητῆρα* Zo || **1211** *γ'*] *μ'* LKT || **1212** *φθονήσεται* ZgZo

ΥΛ. ὅσον γ' ἂν αὐτὸς μὴ ποτιψαύων χεροῖν·
1215 τὰ δ' ἄλλα πράξω, κοὐ καμῆι τοὐμὸν μέρος.
ΗΡ. ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δέ μοι
χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδούς.
ΥΛ. εἰ καὶ μακρὰ κάρτ' ἐστίν, ἐργασθήσεται.
ΗΡ. τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον;
1220 ΥΛ. Ἰόλην ἔλεξας, ὥς γ' ἐπεικάζειν ἐμέ.
ΗΡ. ἔγνως. τοσοῦτον δή σ' ἐπισκήπτω, τέκνον·
ταύτην ἐμοῦ θανόντος, εἴπερ εὐσεβεῖν
βούλει, πατρώιων ὁρκίων μεμνημένος,
προσθοῦ δάμαρτα, μηδ' ἀπιστήσηις πατρί·
1225 μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
κλιθεῖσαν αὐτὴν ἀντὶ σοῦ λάβηι ποτέ,
ἀλλ' αὐτός, ὦ παῖ, τοῦτο κήδευσον λέχος.
πείθου· τὸ γάρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ
σμικροῖς ἀπιστεῖν τὴν πάρος συγχεῖ χάριν.
1230 ΥΛ. οἴμοι. τὸ μὲν νοσοῦντι θυμοῦσθαι κακόν,
τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα τίς ποτ' ἂν φέροι;
ΗΡ. ὡς ἐργασείων οὐδὲν ὧν λέγω θροεῖς.
ΥΛ. τίς γάρ ποθ', ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
μεταίτιος, σοί τ' αὖθις ὡς ἔχεις ἔχειν,
1235 τίς ταῦτ' ἄν, ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ,
ἕλοιτο; κρεῖσσον κἀμέ γ', ὦ πάτερ, θανεῖν
ἢ τοῖσιν ἐχθίστοισι συνναίειν ὁμοῦ.

1214 *ποτιψαύων* **LKAUY** *ποτε ψαύων* **T** s. l. *ποτε ψαύω* **ZgZoT** || **1217** *μακραῖς ἄλλαις* Blaydes | *δίδου* **KT** || **1220** *ὥς γ'* Schaefer *ὥστ'* codd. | *ἀπεικάζειν* **ZgZo** || **1224** *πρόσθου* codd.: corr. Dindorf || **1225** *τοῖς γ'* Dawe || **1226** *λάβοι* codd.: corr. Elmsley || **1228** *πιθοῦ* Brunck || **1229** *σμικρόν σ'* Blaydes | *πάρος*] *πάλαι* rec. cf. Oed. Tyr. 48 || **1230** *τῶι μὲν* **LK**, et Suda 4, 621, 13, ubi *τὸ* **M** s. l. | *νοσοῦντα* Wakefield || **1231** *ὧδε δρᾶν* Groddeck || **1234** *σοὶ δ'* Schaefer || **1235** *ταῦτ'*] *τήνδ'* Fröhlich | *νοσεῖ* **KZoT**, verum **K** s. l. || **1236** *αἱροῖτο* **ZgZo** *αἵροιτο* **T**, verum **T**[gl] || **1237** *τοῖσί γ'* Dawe

ΗΡ. ἀνὴρ ὅδ' ὡς ἔοικεν οὐ νεμεῖν ἐμοὶ
φθίνοντι μοῖραν. ἀλλά τοι θεῶν ἀρὰ
1240 μενεῖ σφ' ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις.
ΥΛ. οἴμοι· τάχ', ὡς ἔοικας, ὡς νοσεῖς φράσεις.
ΗΡ. σὺ γάρ μ' ἀπ' εὐνασθέντος ἐκκινεῖς κακοῦ.
ΥΛ. δείλαιος, ὡς ἐς πολλὰ τἀπορεῖν ἔχω.
ΗΡ. οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν.
1245 ΥΛ. ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν, πάτερ;
ΗΡ. οὐ δυσσέβεια, τοὐμὸν εἰ τέρψεις κέαρ.
ΥΛ. πράσσειν ἄνωγας οὖν με πανδίκως τάδε;
ΗΡ. ἔγωγε· τούτων μάρτυρας καλῶ θεούς.
ΥΛ. τοιγὰρ ποήσω, κοὐκ ἀπώσομαι τὸ σόν,
1250 θεοῖσι δεικνὺς ἔργον. οὐ γὰρ ἄν ποτε
κακὸς φανείην σοί γε πιστεύσας, πάτερ.
ΗΡ. καλῶς τελευτᾷς, κἀπὶ τοῖσδε τὴν χάριν
ταχεῖαν, ὦ παῖ, πρόσθες, ὡς πρὶν ἐμπεσεῖν
σπαραγμὸν ἤ τιν' οἶστρον, ἐς πυράν με θῇς.
1255 ἄγ', ἐγκονεῖτ', αἴρεσθε· παῦλά τοι κακῶν
αὕτη κέλευθος τοῦδε τἀνδρὸς ὑστάτη.
ΥΛ. ἀλλ' οὐδὲν εἴργει σοι τελειοῦσθαι τάδε,
ἐπεὶ κελεύεις κἀξαναγκάζεις, πάτερ.
ΗΡ. ἄγε νυν, πρὶν τήνδ' ἀνακινεῖσθαι

1238 ἀνὴρ Hermann | νέμειν codd.: corr. Brunck | οὐκ ἐμοὶ νεμεῖ Wakefield || 1240 σφ' Dawe σ' codd. || 1241 ὤμοι LT ὤιμοι K | φράσεις] φανεῖν Hermann φανεῖς Axt || 1243 γ' ἐπαπορεῖν T || 1249 post τὸ σόν interpungit T, non rell. || 1249 sq. τὸ δρᾶν/σὸν θεοῖσι δεικνὺς τοὔργον (hoc iam Dobree) Blaydes || 1254 μεθεὶς L^{ac} μεθῇς L^{1pc} || 1256 post αὕτη interpungunt T, edd. plerique | κέλευθος Bergk τελευτὴ codd. | τοῦδέ γ' ἀνδρὸς K || 1257 σοὶ codd.: corr. Blaydes: cf. Maas, Griech. Metrik § 137 || 1259 sqq.: 1259–1278 del. Hartung, 1264–1278 Bergk || 1259 νυν T νῦν rell. | ἀνακινῆσαι codd.: corr. Blaydes

1260 *νόσον, ὦ ψυχή, σκληροῦ χάλυβος*
λιθοκόλλητον στόμιον παρέχουσ'
ἀνάπαυε βοήν, ὡς ἐπίχαρτον
τελεοῦσ' ἀεκούσιον ἔργον.
ΥΛ. *αἴρετ', ὀπαδοί, μεγάλην μὲν ἐμοὶ*
1265 *τούτων θέμενοι συγγνωμοσύνην,*
μεγάλην δὲ θεῶν ἀγνωμοσύνην
εἰδότες ἔργων τῶν πρασσομένων,
οἳ φύσαντες καὶ κληιζόμενοι
πατέρες τοιαῦτ' ἐφορῶσι πάθη.
1270 *τὰ μὲν οὖν μέλλοντ' οὐδεὶς ἐφορᾶι,*
τὰ δὲ νῦν ἑστῶτ' οἰκτρὰ μὲν ἡμῖν,
αἰσχρὰ δ' ἐκείνοις,
χαλεπώτατα δ' οὖν ἀνδρῶν πάντων
τῶι τήνδ' ἄτην ὑπέχοντι.
1275 ΧΟ. *λείπου μηδὲ σύ, παρθέν', ἔτ' οἴκτων,*
μελέους μὲν ἰδοῦσα νέους θανάτους,
πολλὰ δὲ πήματα ⟨καὶ⟩ καινοπαθῆ·
κοὐδὲν τούτων ὅ τι μὴ Ζεύς.

1260 *σκληρὰ* codd.: corr. Nauck *σκληρὸν* Blaydes || **1261** *προσέχουσ'* Dawe || **1263** *τελέως* codd.: corr. L. Dindorf: *τελέουσ'* iam Billerbeck || **1264–1274** Hyllo trib. **KZgZoT**: personae nota carent rell. || **1266** *τε* **L** | *θεαῖς* **Zg** *θεοῖς* **Zo**, **T** s. l. | versum om. **K** || **1269** *πάθη* del. Nauck || **1270–1278** choro trib. Bergk || **1270** *προορᾶι* Hartung *σάφ' ὁρᾶι* Pflügl || **1273** *πάντων* **UY** *θανάτους* **A** *ἁπάντων* rell. || **1275–1278** choro trib. **K** et pap. Oxy. 3688, Hyllo **L**[1]**ZgT**, aut choro aut Hyllo **L**[s] rell. || **1275** *ἔτ' οἴκτων* Vauvilliers (*οἴκτων* iam Wakefield) *ἐπ' οἴκων* **T**, et *γρ.* **ΣL** *ἀπ' οἴκων* rell. || **1276** *μελέους* Subkoff *μεγάλους* codd. | *ἰδοῦσ' αἰνοὺς* Wunder || **1277** *καὶ* add. Bentley | *καινοπαγῆ* **L**, et s. l. **AUYT** verum **L** s. l., rell.

CONSPECTVS METRORVM

94–102 = 103–111

94/103	⏑ –⏑– –⏑⏑–⏑⏑–	⏑ e D
95/104	– –⏑– – –⏑⏑–⏑⏑–	– e – D
96/105	–⏑⏑–⏑⏑– –	D –
97/106	–⏑– – –⏑– –	E –
98/107	–⏑⏑–⏑⏑–	D
99/108	– –⏑– – –⏑⏑–⏑⏑–	– e – D
100/109	– –⏑– – –⏑–	– E
101/110	– –⏑– – –⏑–	– E
102/111	– –⏑– – –⏑– ⏑̇	– E ⏑̇

112–121 = 122–131

112/122	–⏑⏑–⏑⏑– ⏓	D ⏓
113/123	–⏑⏑–⏑⏑– –	D –
114/124	–⏑⏑–⏑⏑– –	D –
115/125	–⏑⏑–⏑⏑–	D
116/126	––⏑– –⏑⏑–	chor. dim. B
117/127	⏑–⏑– –⏑⏑–	chor. dim. B
118/128	⏑⏑⏑⏑– –⏑⏑–	chor. dim. B
119/129	–⏑⏑– ⏑–⏑–	chor. dim. A
120/130	–⏑⏑– ⏑–⏑–	chor. dim. A
121/131	–⏑⏑–⏑––	aristoph.

132–140

132	⏑–⏑– –⏑–	ia. dim. sync.
133	–⏑–⏑–⏑–	lekyth.
134	⏑–⏑– ⏑–⏑–	ia. dim.
135	⏑–⏑– ⏑–⏑–	ia. dim.
136	––⏑– ⏑––	ia. dim. cat.

137	⏑–⏑– ⏑–⏑– ⏑–⏑–	ia. trim.
138	⏑–⏑– –⏑– ⏑–⏓	ia. trim. sync. cat.
140	⏑–– –⏑– ⏑–⏓	ia. trim. sync. cat.

205–224

205	⏑⏑⏑–⏑–⏑–	lekyth.
206	⏑–⏑– ⏑⏑ ⏑–	ia. dim. sync.
207a	⏑–⏑– ⏑–⏓	ia. dim. cat.
207b	–⏑–⏑–⏑–	lekyth.
208	⏑–– –⏑– ⏑––	ia. trim. sync. cat.
209	⏑–– –⏑–	ia. dim. sync.
210	⏑–⏑– –⏑–	ia. dim. sync.
211	–⏑⏑⏑– –⏑–	ia. dim. sync.
212	⏑–⏑– ⏑–⏑–	ia. dim.
213–214	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
214–215	–⏑⏑– –⏑–⏑––	chor. + ithyph.
216	–⏑⏑– ⏑–⏑–	chor. dim. A
217	⏑–⏑– ⏑–⏑– ⏑–⏑–	ia. trim.
218	⏑–⏑ ⏑⏑ ––	ia. + sp.
219a	–– ––	2 sp.
219b	⏑–⏑– ⏑–⏑–	ia. dim.
220	⏑–⏑– ⏑–⏓	ia. dim. cat.
221	⏑–⏑– ––	ia. + sp.
222	⏑⏑⏑–⏑–⏑–	lekyth.
223	⏑–⏑– ⏑––	ia. dim. sync.
224	⏑–⏑– ⏑––	ia. dim. sync.

497–506 = 507–516

497/507	⏑⏑–⏑⏑– ⏑⏑–⏑⏑–	anap. dim.
598a/508b	––⏑–	ia.
498b/508b	–⏑––	troch.
499/509	⏑⏑–⏑⏑– ⏑⏑–⏑⏑–	anap. dim.
500/510	⏑–⏑⏓	ia.
501/511	–⏑⏑–⏑⏑– –	D –
502/512	–⏑– – –⏑⏑–⏑⏑– –	e – D –
503/513	–⏑⏑–⏑⏑– –	D –
504/514	⏑⏑–⏑⏑– ⏑⏑– ⏑⏑–	anap. dim.

505/515	⏑–– –⏑– ⏑–⏑–	ia. trim. sync.
506/516	–⏑⏑–⏑––	aristoph.

518–530

518	⏑–⏑⏑–⏑– –⏑⏑–	teles. + chor.
519	–– –⏑⏑ –⏑⏑ ––	dactyl. tetram.
520	– –⏑– – –⏑⏑–⏑⏑– –⏑⏑– ⏑	– e – D d[1] ⏑
521	–⏑⏑–⏑⏑– –	D –
523	––– ⏑––	mol. + ba.
524	––– ⏑––	mol. + ba.
525	–⏑⏑– –⏑–⏑––	chor. + ithyph.
526	† ⏑–⏑– –⏑– ⏑–– †	ia. trim. sync. cat.
527	⏑–⏑– –⏑– ⏑––	ia. trim. sync. cat.
528	⏑–⏑– ⏑–⟨⏑–⟩	ia. dim.
529	–⏑–⏑⏑–⏑–	glyc.
530	–⏑–⏑⏑––	pher.

633–639 = 640–646

633/640	⏓–⏑⏑–⏑– ⏒	teles. + anc.
634/641	–⏑– ⏑ –⏑–	e ⏑ e
635/642	– –⏑⏑–⏑⏑– ⏑ –⏑– –	– D ⏑ e –
636/643	–⏑⏑– ––	chor. + sp.
637/644	⏑ –⏑⏑– ––⏑–	anc. + chor. dim. A
638/645	––– –⏑⏑–	chor. dim. B sync.
639/646	⏑–⏑– ⏑––	ia. dim. cat.

647–654 = 655–662

647/655	⏑⏑– ⏑⏑– ⏑ ––⏒	anap. + anc. + mol.
648/656	⏑⏑– ⏑⏑– ⏑ –⏑––	anap. + anc. + troch.
649/657	⏒–⏑⏒⏒ ⏑⏑⏑⏑–	ia. dim.
650/658	⏑–⏑– ⏑–⏑–	ia. dim.
651/659	⏑–– –⏑– ⏑–⏑–	ia. trim. sync.
652/660	⏓–⏑– ⏑–⏑⏒	ia. dim.
653/661	––– –––	2 mol.
654/662	–⏑– ⏑⏑⏑– –⏑–	3 cr.

821–830 = 831–840

821/831	⏒ –⏑– – –⏑⏑–⏑⏑–	⏒ e – D
822/832	– –⏑⏑–⏑⏑– –	– D –
823/833	–⏑– ⏒ –⏑– –	E –
824/834	⏒ ⏑⏑ ⏑ ⏑⏑ ⏒ ⏑⏑ ⏑ – ⏑–⏑–	ia. trim.
825/835	–⏑⏑ ⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑ – ⏑–⏑–	ia. trim.
826a/836a	–⏑⏑–⏑––	aristoph.
826b/836b	–⏑––	troch.
827/837	–⏑ ⏑⏑– ––	troch. + sp.
828/838	–⏑ ⏑⏑– ––	troch. + sp.
829/839	⏑⏑⏑⏑⏑⏑⏒⏒	dochm.
830/840	⏑–⏑– ⏑––	ia. dim. cat.

841–850 = 852–861

841/852	–––– –⏑⏑–	chor. dim. B
842/853	⏑⏑–⏑⏑– ⏑⏑–––	anap. dim.
843/854	⏑–⏑– – –⏑–⏑⏑––	ia. + anc. + pher.
844/855	⏑⏑⏑–⏑⏑–⏑–	glyc.
845/856	⏓–⏑– ⏒⏒⏒–⏑⏑–⏑–	ia. + glyc.
846/857	–⏑⏑⏑ –⏒–	cr. + cr./mol.
847/858	–⏑⏑⏑ –––	cr. + mol.
848/859	– –⏑⏑– ––	anc. + chor. + sp.
849/860	– –⏑⏑– –⏑⏑– –⏑⏑–	anc. + 3 chor.
850/861	–⏑⏑– ––	chor. + sp.

879–895

879	–⏑–⏑ –⏑–⏑	2 troch.
880	–⏑– ⏑–⏑– –⏑–	ia. trim. sync.
881 }	––⏑– ––⏑	} 2 ia. + lekyth.
882 }	– –⏑–⏑–⏑–	
883	–––⏑⏑–⏑–	glyc.
884	⏑–⏑– ⏑–⏑⏑̇	ia. dim.
885	–⏑⏑–⏑⏑⏑̇	hemiepes
886	⏑⏑–⏑⏑–⏑⏑–	?
887	⏑–⏑– ⏑––	ia. dim. cat.
888	⏑–⏑– ⏑–⏑– ⏑–⏑⏑̇	ia. trim.

889	⏑–⏑– ––⏑– ⏑–⏑⏑̇	ia. trim.
890	⏑–⏑– ⏑–⏑̇	ia. dim. cat.
891	––⏑– ––⏑– ––⏑–	ia. trim.
892	⏑–– ⏑––	2 ba.
893	⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑––	ia. dim. cat.
894	⏑–⏑– ⏑––	ia. dim. cat.
895	⏑–⏑– ⏑––	ia. dim. cat.

947–949 = 950–952

947/950	⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑–	ia. dim.
948/951	⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑–	ia. dim.
949/952	–⏑⏑– ⏑–––	chor. dim. A

953–961 = 962–970

953/962	– –⏑⏑–⏑–	teles.
954/963	⏒–⏑– ⏑–⏑– ⏑––	ia. trim. cat.
955/964	⏓–⏑– ⏑–⏑– ⏑–⏑–	ia. trim.
956/965	––⏑– ⏑–⏑–	ia. dim.
957/966	⏓–⏑⏑–⏑–	teles.
958/967	⏑–⏑– ⏑–⏑⏑̇	ia. dim.
959/968	⏔– ⏑⏑– –– ⏑⏑–	anap. dim.
960/969	⏑–⏑ –⏑⏑– – –⏑⏑– ⏑–	teles./aceph. chor. dim. B
961/970	⏑–⏑– ⏑–⏒	ia. dim. cat.

1003–1017 = 1023–1043

1003/1023a	––	sp.
1004/1023b	–––⏑–	dochm.
1005a/1024	–⏑⏑–⏑–	dochm.
1005b/1025	–⏑⏑–⏓–	dochm.
1006/1026	⏓⏑⏑–––	dochm.
1007/1027	–– –– –– ––	anap. dim.
1008/1028	⏑⏑– ⏔–	anap.
1009/1030	⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑–	ia. dim.
1010–1014/1031–1040		dactyl. hex.
1015/1041a	––	sp.

1016a/1041b	–⏑⏑––– –⏑⏑–⏑–	dochm. dim.
1016b/1042	–⏑⏑–⏑–	dochm.
1017/1043	–⏑⏑–⏑– –⏑⏑–⏒–	dochm. dim.
1018–1022		dactyl. hex.

BIBLIOTHECA TEVBNERIANA

Euripides, Hippolytos

Edidit Walter Stockert. 1994

Der „Hippolytos“ des Euripides (uraufgeführt 428 v. Chr.) zählt zu den bekanntesten Tragödien des Autors mit vielfältiger Rezeption in der antiken wie in der modernen Literatur.
Durch den monumentalen Kommentar von W. S. BARRETT und die editio Oxoniensis J. DIGGLEs war dieses Drama kritisch und sprachlich bereits gut erschlossen. Damit war der Editor der vorliegenden Edition mit einer besonderen Herausforderung konfrontiert: mit der Notwendigkeit, durch neue Erkenntnisse das Erscheinen einer weiteren Ausgabe dieses Dramas zu rechtfertigen.
Walter Stockert, Schüler der beiden bedeutenden Wiener Gräzisten Walther Kraus und Albin Lesky, hatte sich bereits mit seinem 2bändigen Kommentar zur „Aulischen Iphigenie“ (der in den „Beiheften der Wiener Studien“ erschien) auf dem Gebiet der griechischen Tragödie profiliert.
Bei der Vorbereitung der vorliegenden Ausgabe wurde auch die handschriftliche Überlieferung sorgfältig studiert. Ihre Eigenständigkeit gewinnt die Edition angesichts der Kompetenz der genannten Vorgänger jedoch nicht auf dem Gebiet der „recensio“; das Neue liegt vielmehr in den nicht unbeträchtlichen Beiträgen zur Textgestaltung, einer Neugestaltung des textkritischen Apparates (mit möglichst genauer Präzisierung der Erstvorlage einer jeden Konjektur) sowie in einem reichen, völlig neu erarbeiteten Testimonienapparat, wie er für B. G. Teubners Euripides-Ausgaben charakteristisch ist.



B. G. TEUBNER STUTTGART UND LEIPZIG

BIBLIOTHECA TEVBNERIANA

Euripides, Electra

Edidit Giuseppina Basta Donzelli. 1995

Dieser Text bildet einen wichtigen Bestandteil und zugleich den Abschluß der Euripideseditionen von B.G. Teubner. Gegenüber der Textausgabe innerhalb des 2. Bandes der Euripides-Fabulae in den Oxford Classical Texts von 1981 stellt diese Ausgabe einen Fortschritt allein schon dadurch dar, daß wesentliche, erst kürzlich erschienene Literatur in ihr mit verarbeitet ist. Darüberhinaus bietet sie als Einzelausgabe durch ein vollständiges Verzeichnis früherer Editionen und ein umfangreiches, nach Verfassernamen alphabetisch geordnetes Literaturverzeichnis und einen Conspectus metrorum wesentlich mehr als jene Sammelausgabe. Hervorzuheben ist auch, daß zusätzlich zu der direkten Überlieferung über dem textkritischen Apparat Zitate aus dieser Tragödie bei späteren Schriftstellern angeführt sind, die für die Textkonstituierung Bedeutung haben. Der textkritische Apparat ist übersichtlich und zum Teil ausführlicher als in besagter Oxford-Ausgabe. Die lateinische Praefatio ist klar, straff und präzise und legt den Forschungsstand deutlich dar. Daß der Text selbst, der sich im Wesentlichen nur auf einen mittelalterlichen Kodex stützen kann, in weiten Teilen seit langem unverändert bleiben muß, versteht sich von selbst. Hervorzuheben ist jedoch die Behutsamkeit gegenüber modernen Tilgungs- und Versumstellungs-Vorschlägen. Neuere textkritische Aufsätze sind im Text oder im textkritischen Apparat gebührend berücksichtigt.



B. G. TEUBNER STUTTGART UND LEIPZIG

BIBLIOTHECA TEVBNERIANA

PLVTARCHVS, Vitae parallelae

Vol. I. Fasc. 1.

Theseus et Romulus · Solon et Publicola · Themistocles et Camillus · Aristides et Cato maior · Cimon et Lucullus

Vol. I. Fasc. 2

Pericles et Fabius Maximus · Nicias et Crassus · Alcibiades et Coriolanus · Demosthenes et Cicero

Vol. II. Fasc. 1

Phocion et Cato maior · Dion et Brutus · Aemilius Paulus et Timoleon · Sertorius et Eumenes

Vol. II. Fasc. 2

Philopoemen et Titus Flaminius · Pelopidas et Marcellus · Alexander et Caesar

Vol. III. Fasc. 1

Demetrius et Antonius · Pyrrhus et Marius · Aratus et Artaxerxes · Agis et Cleomenes et Ti. et C. Gracchi

Vol. III. Fasc. 2

Lycurgus et Numa · Lysander et Sulla · Agesilaus et Pompeius · Galba et Otho

Vol. IV

Indices

In Einzelausgaben:
Alexander et Caesar
Demosthenes et Cicero



B.G. TEUBNER STUTTGART UND LEIPZIG